Gal. 6 T. e 15. A. 6.

ΑΝΑΛΕΚΤΑ ΕΛΛΗΝΙΚΑ ΗΣΣΟΝΑ·

SIVE

Collectanea Græca Minora:

CUM

NOTIS PHILOLOGICIS,

ATQUE

PARVO LEXICO:

AD USUM

TIRONUM

ACCOMMODATA.

EDITIO SECUNDA EMENDATIOR.

EDINBURGI:
EXCUDEBAT ADAMUS NEILL CUM SOCIIS.
VENEUNT IBIDEM,
APUD BELL ET BRADFUTE, ET JACOBUM DICKSON.
LONDINI:
APUD JOANNEM MURRAY, IN *Fleetstreet.*
MDCCXCI.

9

FH
MVSEVM
BRITANNICVM

AD LECTOREM

PRÆFATIO.

QUUM *Collectanea Græca*, quorum tomus prior nuper prodiit iterum, ad usum Juventutis Academicæ superioris ordinis adornata essent, nec nisi ab iis, qui mediocrem saltem progressum in hujus linguæ nobilissimæ studio jam fecerunt, commodè perlegi possint; alter libellus, ejusdem ferè generis, minoris tamen molis, atque ad usum juniorum Discipulorum accommodatior, adhuc desiderari videbatur.

In hoc igitur concinnando, id imprimis curæ fuit, ut, ex innumeris, quibus Græcarum Literarum abundant monumenta, eæ seligerentur Fabellæ atque Poëmatia quæ, inter laborem quem in discendo minutissimas linguæ tam copiosæ partes impendere necesse est, discipulorum animos, jucunditate suâ ac varietate allicerent et delectarent. Quanquam autem auctores è quibus decerpta

cerpta ſunt hæc ἀποσπασμάτια, non omnes optimis Græciæ ſæculis floruerint, eorum tamen ſtylus plerumque ſatis eſt elegans, nec eſt cur quis metuat ne diſcentium judicium de puro ſermone Græco, nimiâ cum illis familiaritate corrumpatur.

Interpretationes perpetuæ, quæ Græcos libros comitari ſolent, hinc, quemadmodum ex *Analectis Majoribus* ſupra memoratis, omninò exulant; quia Tironum progreſſus non ſolum non promovere, ſed multùm impedire inveniuntur. Ope autem *Annotationum, parvique Lexici* adjecti, quivis diſcipulus, dummodo diligentiam adhibeat, pulchréque calleat, uti debet, nominum flexiones verborumque conjugationes, nec ſit ingenio planè craſſiſſimo, quæ à perito præceptore prælecta fuerint penitùs perdiſcere poterit: Nec dubitandum quin una prælectio, ita elaborata, ad Linguam Græcam rectè intelligendam magis è re futura ſit, quam multæ, perfunctoriè, ut vulgò fit, interpretationis Latinæ auxilio, paratæ.

Annotationibus in ſingula Excerpta præfigitur auctoris vitæ, ejuſque operum præcipuarum Editionum, brevis Notitia; quæ ſit junioribus diſcipulis prima quaſi Elementa ejus generis Scientiæ, ubi nemo, literis politioribus imbutus, hoſpes eſſe debet.

Lexicon parvum, è *Schrevelio* deſumptum, ſed nonnihil emendatum et multis vocibus ſuppletum, ideo adjicere viſum eſt, ut Tironibus, modico ſumptu, nunquam

quam non ad manus eſſet ſingularum vocum explicatio, huic opuſculo accommodata.

Cæterum hujuſmodi laboribus,—humillimis quidem illis! non autem inutilibus, ſi Juventuti ingenuæ ad cognitionem Linguæ Doctrinæque longè omnium elegantiſſimæ aditum minùs ſalebroſum reddere valuerint, te, Lector benevole, benignè fauturum ſperamus. Vale.

Edinburgi, è Coll. Jacobi VI.
Scotorum Regis, Kal. Feb.
M DCC XCI.

Nuper

Nuper Edita,

ΑΝΑΛΕΚΤΑ ΕΛΛΗΝΙΚΑ·

SIVE

COLLECTANEA GRÆCA:

AD USUM ACADEMICÆ JUVENTUTIS *ACCOMMODATA.*

TOM. I.

Complectens Excerpta ex variis Orationis ſolutæ Scriptoribus: cum Notis philologicis; quas partim collegit, partim ſcripſit ANDREAS DALZEL, A. M. *Socius Regiæ Societatis Edinburgenſis; in Academia Jacobi VI. Scotorum Regis Litt. Gr. P. eidemque à Secretis et Bibliothecarius.* Editio ſecunda emendatior. 1789.

SYNOPSIS

SYNOPSIS eorum quæ in hoc Opusculo continentur.

PARS PRIMA.

Excerpta ex Prosæ Scriptoribus.

I. Ex *ÆSOPI FABULIS.*

1. *Cochleæ,* - - - *Pag.* 3.
2. *Equus et Equiso,* - - 3.
3. *Agricola et Serpens,* - - 4.
4. *Gallina et Hirundo,* - - 4.
5. *Musca,* - - - 4.
6. *Mulus,* - - - 4.
7. *Vulpes et Racemus,* - - 5.
8. *Vulpes,* - - - 5.
9. *Corvus,* - - - 5.
10. *Canis carnem ferens,* - - 5.
11. *Pavo et Graculus,* - - 6.
12. *Canes esurientes,* - - 6.
13. *Equus et Cervus,* - - 6.
14. *Cicada et Formicæ,* - - 7.
15. *Senex et Mors,* - - 7.
16. *Canis et Dominus,* - - 7.
17. *Galli,* - - - 8.
18. *Vipera et Lima,* - - 8.
19. *Lupus et Grus,* - - 8.
20. *Vulpes esuriens,* - - 9.

21. *Leo*

21. *Leo et Asinus,* - - Pag. 9.
22. *Cervus,* - - - 9.
23. *Galli et Perdix,* - - 10.
24. *Vulpes et Cervus,* - - 10.
25. *Mures,* - - - 11.
26. *Vulpes,* - - - 11.
27. *Leo et Asinus et Vulpes,* - 12.
28. *Ranæ,* - - 12.
29. *Bubulcus,* - - - 13.
30. *Canis et Gallus,* - - 13.
31. *Mercurius et Statuarius,* - - 14.

II. Ex *HIEROCLIS FACETIIS,* 15.

III. Ex *PALÆPHATO* de *INCREDIBILIBUS HISTORIIS.*

1. *De Centauris,* - - 19.
2. *De Actæone,* - - 21.
3. *De Anthropophagis Equis Diomedis,* 22.
4. *De Niobe,* - - - 22.
5. *De Lynceo,* - - - 23.
6. *De Cæneo,* - - 23.
7. *De Europa,* - - 24.
8. *De Æolo,* - - 24.
9. *De Hesperidibus,* - - 25.
10. *De Geryone,* - - 25.
11. *De Orpheo,* - - - 26.
12. *De Alcestide,* - - 27.

IV.

IV. Ex *LUCIANI DIALOGIS.*

E Dialogis Mortuorum.

1. *Cnemon, Damippus,* - Pag. 29.
2. *Menippus et Mercurius,* - 30.
3. *Charon, Menippus, Mercurius,* - 31.
4. *Crœsus, Pluto, Menippus, Midas, Sardanapalus,* 33.
5. *Zenophantes, Callidemides,* - 34.
6. *Pluto, Protesilaus, Proserpina,* - 36.
7. *Menippus et Tantalus,* - 38.
8. *Æacus, Protesilaus, Menelaus, Paris,* - 39.
9. *Diogenes et Alexander,* - - 40.
10. *Mercurius, Charon,* - - 43.

E Dialogis Fabulosis.

1. *Jupiter et Mercurius,* - 45.
2. *Iris et Neptunus,* - - 46.
3. *Xanthus et Mare,* - - 47.
4. *Vulcanus et Jupiter,* - - 48.
5. *Jupiter, Æsculapius, Hercules,* - 49.
6. *Mars et Mercurius,* - - 51.
7. *Menelaus et Proteus,* - - 52.
8. *Apollo et Mercurius,* - - 53.
9. *Mercurius et Maia,* - - 55.

V. Ex *PLUTARCHI APOPHTHEGMATIS.*

1. *Memnonis,* - - Pag. 57.
2. *Ægyptiorum regum mos,* - 57.
3. *Poltys,* - - 58.
4. *Tyri,* - - - 58.

5. *Idathyrſi*, - - Pag. 58.
6. *Atĕi*, - - - 58.
7. *Sciluri*, - - 59.
8. *Agathoclis*, - - 59.
9. *Dionis*, - - 60.
10. *Alexandri*, - - 60.
11. *Lyſimachi*, - - 65.
12. *Antiochi*, - - 65.

VI E *XENOPHONTE* DE *CYRI INSTITUTIONE*.

E LIBRO QUINTO.

Cyrus hortatur ſuos ad auxilium ferendum Gadatæ, - - Pag. 67.
Ad iter nocturnum inſtruit agmen, - 68.
Cyri prudentia in nominatim appellandis militum ducibus, - - - 71.

PARS ALTERA.

EXCERPTA EX POETIS.

I. Ex *ANACREONTIS CARMINIBUS*.

1. *In Lyram*, - - Pag. 75.
2. *In Fœminas*, - - 76.
3. *In Cupidinem*, - - 76.
4. *In Seipſum*, - - 78.
5. *In Roſam*, - - 79.
6. *In Columbam*, - - 79.

7. *In Seipſum,* - - *Pag.* 81.
8. *In Amorem,* - - 82.
9. *In ſuam Amicam,* - - 83.
10. *In Hirundinem,* - - 84.
11. *In Ver,* - - 85.
12. *In Cupidinem,* - - 86.
13. *In Formicam,* - - 86.
14. *In Amorem,* - - 87.
15. *In Senem,* - - 88.

II. Ex *BIONIS IDYLLIIS.*

1. *Ex Epitaphio Adonidis,* - 89.
2. *Auceps,* - - - 91.
3. *Cleodamus et Myrſon,* - 92.

III. Ex *MOSCHI IDYLLIIS.*

1. *Amor fugitivus,* - - 93.
2. *Ex Epitaphio Bionis,* - 94.

IV. Ex *TYRTÆI ELEGIIS.*

1. *De bellica Virtute,* - - 97.
2. *Ejuſdem* II. - - 99.

Notæ Philologicæ *adjectæ ſunt proximè poſt contextum,* - *Pag.* 1. *ad* 87.
Parvum Lexicon *claudit opus.*

Errata.

ERRATA.

Pag. 8. *lin.* 3. *pro* ἰὶς *lege* ἐἰς

Pag. 16. *lin.* 2. *pro* πεοφάς. *lege* τεοφάς.

———— 17. *pro* ἀεφηρίδη. *lege* ἀφηρέδη.

Pag. 17. *lin.* 1. *pro* ζῶντα· *lege* ἔτι, ἔφη, ζῶντα·

Miscellanea

Miſcellanea Græca Minora.

PARS PRIMA:

COMPLECTENS EXCERPTA EX NONNULLIS PROSÆ SCRIPTORIBUS.

I.

Ex *ÆSOPI* FABULIS.

Æsopi ingentem ſtatuam poſuere Attici,
Servumque collocarunt æterna in baſi,
Patere honoris ſcirent ut cunctí viam,
Nec generi tribui, ſed virtuti gloriam.

Phædr. Fab. Lib. II.

[1]Α Ι Σ Ω Π Ο Υ Μ Υ Θ Ο Ι.

ά. [2]Κ Ο Χ Λ Ι Α Ι.

Γεωργου παῖς ὤπλα κοχλίας· [4]ἀκύσας ὑ αὐτῶν τρυζόντων, [5]ἔφη· ὦ [6]κάκιστα ζῶα, [7]τῶν οἰκιῶν ὑμῶν ἐμπιπραμένων, [8]αὐτοὶ ᾄδετε;

β'. Ἵππος και Ἱππόκομος.

[9]Κριθὴ τὴ ἵππῳ ὁ ἱπποκόμος κλέπτων ἢ πωλῶν, [10]τὸν ἵππον ἔτριβε ἢ ἐπένιζε πάσας ἡμέρας. ἔφη δὲ ὁ ἵππος· εἰ θέλεις ἀληθῶς καλὸν εἶναί με, [11]τὴ κριθὴ τὴ τρέφουσαν μὴ πώλει.

γ'.

γ'. ΓΕΩΡΓΟΣ ΚΑΙ ΟΦΙΣ.

Γεωργὸς [1]χειμῶνα ὥραν, ὄφιν [2]εὑρὼν [3]ὑπὸ κρύους πεπηγότα, τοῦτον [4]λαβὼν [5]ὑπὸ κόλπῳ κατέθετο· [6]θερμανθεὶς δὲ ἐκεῖνος καὶ [7]ἀναλαβὼν τὴν ἰδίαν φύσιν [8]ἔπληξε τὸν εὐεργέτην.

δ'. ΟΡΝΙΣ ΚΑΙ ΧΕΛΙΔΩΝ.

[9]Ὄρνις [10]ὄφεως ὠὰ [11]εὑροῦσα, ὅπως ἐλῶς [12]ἐκθερμάνασα ἐξεκόλαψε· χελιδὼν δὲ [13]θεασαμένη αὐτὴν, ἔφη· ὦ μαλαία, [14]τί ταῦτα τρέφεις, [15]ἅπερ αὐξηθέντα ἀπὸ σοῦ πρώτης [16]καὶ ἀδικεῖν ἄρξεται;

ε'. ΜΥΙΑ.

Μυῖα [17]ἐμπεσοῦσα εἰς χύτραν κρέατος, ἐπειδὴ [18]ὑποπίγελως ἔμελλεν, ἔφη πρὸς ἑαυτήν· ἀλλ' ἔγωγε καὶ [19]βέβρωκα, καὶ πέπωκα, καὶ λέλουμαι, [20]κἂν ἀποθάνω ἡδέν μέλει μοι.

ς'. ΗΜΙΟΝΟΣ.

Ἡμίονος ἐκ κριθῆς [21]παχυνθεὶς, [22]ἀνεσκίρτησε βοῶν καὶ λέγων, πατήρ μου ἐστὶν ἵππος ὁ ταχυδρόμος, κἀγὼ [23]αὐτῷ ὅλος ἀφωμοιώθην· καί ποτε [24]ἀνάγκης ἐπελθούσης τρέχειν, ἐπειδὴ [25]καὶ δρόμου ἐπαύσατο, καὶ πατρὸς ὄνου εὐθὺς [26]ὑπεμνήσθη.

ζ'.

ζ. ΑΛΩΠΗΞ ΚΑΙ ΒΟΤΡΥΣ.

Βοτρύας πεπέρυς ἀλώπηξ [1]κρεμαμβύας [2]ἰδοῦσα, τύτυς [3]ἐπειρᾶτο καθαφαγεῖν· [4]πολλὰ δὲ [5]καμοῦσα, [6]κ̀ μὴ δυνηθεῖσα ψαῦσαι, τῳ λύπῳ [7]παραμυθαμβύνη, ἔλεγβυ, [8]ὄμφακες ἔτι εἰσίν.

η. ΑΛΩΠΗΞ.

Αλώπηξ εἰς οἰκίαν ἐλθοῦσα [9]ὑποκριτοῦ, [10]κ̀ ἕκασα τῶν αὐτοῦ σκευῶν διερευνωμβύη, εὗρε κ̀ κεφαλῷ [11]μορμολυκίυ εὐφυῶς [12]καθεσκευασμένην· ἣν κ̀ [13]ἀναλαβοῦσα ταύς χερσὶν, ἔφη, ὦ [14]οἵα κεφαλὴ, κ̀ [15]ἐγκέφαλον ὐκ ἔχει.

θ. ΚΟΡΑΞ.

Κόραξ νοσῶν ἔφη [16]τῇ μητρὶ, μῆτερ [17]εὔχυ τῷ θεῷ, κ̀ μὴ [18]θρήνει· ἡ δ' [19]ὑπολαβοῦσα ἔφη, τίς σε, ὦ τέκνον, τῶν θεῶν [20]ἐλεήσει; [21]τίν᾽ γὰ κρέας ὑπὸ σοῦ γε ὐκ ἐκλάπη;

ι. ΚΥΩΝ ΚΡΕΑΣ ΦΕΡΩΝ.

Κύων κρέας φέρων ποταμὸν [22]διέβαινε· θεασάμβυος δὲ τὴν ἑαυτοῦ σκιὰν ὅπῃ ᾗ [23]ὕδατος, [24]ὑπέλαβεν ἕτερον κύνα εἶναι κρέας [25]κατέχοντα· [26]κ̀ ἀφεὶς τὸ ἴδιον, [27]ὥρμησε τὸ ἐκείνυ λαβεῖν· [28]ἀπώλεσε δὲ ἀμφότερα.

φότερα· [1]τὸ μὲν ἓν ἔκ ἦν· ὁ δὲ κατέχεν ὑπὸ τᾶ ῥεύματος [2]κατεσύρετο.

ιά. [3]ΤΑΩΣ ΚΑΙ ΚΟΛΟΙΟΣ.

[4]Τῶν ὀρνίθων βελομένων ποιῆσαι βασιλέα, ταὼς [5]ἑαυτὸν ἠξίει διὰ τὸ κάλλος χειροτονεῖν· [6]αἱρεμένων δὲ τᾶτον πάντων, κολοιὸς [7]ὑποβλαβὼν ἔφη· ἀλλ' εἰ, [8]σᾶ βασιλεύοντος, ἀετὸς ἡμᾶς καταδιώκειν [9]ὁπιχειρήσει, [10]πῶς ἡμῖν ἐπαρκέσεις;

ιβ. [11]ΚΥΝΕΣ ΛΙΜΩΤΤΟΥΣΑΙ.

Κύνες λιμώττουσαι ὡς ἐθεάσαντο ἔν τινι ποταμῷ [12]βύρσας βρεχομένας, μὴ δυνάμεναι [13]αὐτῶν ἐφικέσθαι, [14]συνέθεντο ἀλλήλοις ὅπως πρῶτον τὸ ὕδωρ [15]ἐκπίωσιν, [16]ἢ εἰθ' ἕτως ὅπι τὰς βύρσας [17]παραγένωνται· [18]συνέβη δὲ αὐταῖς [19]πιέσαις [20]πρὶν διαραγῆναι, ἢ τῶν βυρσῶν ἐφικέσθαι.

ιγ. ΊΠΠΟΣ ΚΑΙ ΕΛΑΦΟΣ.

Ἵππος [21]κατέσχε λειμῶνα μόνος, [22]ἐλθόντος δ' ἔλαφος ἢ διαφθείροντος τὴν νομὴν, βελόμενος [23]τιμωρήσασθαι τὸν ἔλαφον, [24]ἠρώτα [25]τὸν ἄνθρωπον, εἰ δύναιτο μετ' αὐτᾶ κολάσαι τὸν ἔλαφον· ὁ δ' ἔφησεν, ἐὰν λάβῃ χαλινὸν, ἢ αὐτὸς ἀναβῇ ἐπ' αὐτὸν, ἔχων ἀκόντια· [27]συνομολογήσαντος δὲ, ἢ ἀναβάντος, [28]ἀντὶ τᾶ τιμωρήσασθαι, αὐτὸς [29]ἐδέλευσεν ἤδη τῷ ἀνθρώπῳ.

ιδ.

ιδ'. ΤΕΤΤΙΞ ΚΑΙ ΜΥΡΜΗΚΕΣ.

Χειμῶνος [1]ὥρᾳ, τῶν σίτων [2]βραχέντων, οἱ μύρμηκες [3]ἔψυχον. τέττιξ δὲ λιμώττων [4]ἤτει αὐτὲς τροφήν· οἱ δὲ μύρμηκες εἶπον αὐτῷ, Διατί [5]τὸ θέρος [6]συνῆγες τροφήν; [7]ὁ δὲ εἶπεν, [8]ὐκ ἐσχόλαζον, ἀλλ' [9]ἦδον μουσικῶς· οἱ δὴ γελάσαντες εἶπον, ἀλλ' [10]εἰ θέρους ὥραις ηὔλεις, χειμῶνος ὀρχοῦ.

ιε'. ΓΕΡΩΝ ΚΑΙ ΘΑΝΑΤΟΣ.

Γέρων ποτὲ ξύλα [11]ταμὼν ἐξ ὄρους, καὶπὶ τῶν ὤμων [12]ἀράμενος, ἐπειδὴ πολλὴν ὁδὸν [13]ἐπηχθισμένος [14]ἐβάδισεν, [15]ἀπειρηκὼς, [16]ἀπέθετό τε τὰ ξύλα, καὶ τὸν θάνατον ἐλθεῖν [17]ἐπεκαλεῖτο· ὡς δὴ θανάτου ἐυθὺς [18]δεησάντος, καὶ τὴν αἰτίαν συνθανουμένου δι' ἣν αὐτὸν [19]καλοίη, ὁ γέρων ἔφη, ἵνα τὸν φόρτον τοῦτον [20]ἄρας ὑπόδῃς μοι.

ις'. ΚΥΩΝ ΚΑΙ ΔΕΣΠΟΤΗΣ.

Ἔχων τις [21]κύνα Μελιταῖον καὶ ὄνον, [22]διετέλει τῷ κυνὶ προσπαίζων· καὶ ἔποτε ἔξω δεῖπνον ἔχων, ἐκόμιζέ τι αὐτῷ, καὶ [23]προσιόντι παρέβαλεν. ὁ δὲ ὄνος [24]ζηλώσας, [25]προέδραμε αὐτὸς καὶ σκιρτῶν [26]ἐλάκτισε [27]τὸν δεσπότην. καὶ ὅτος ἀγανακτήσας [28]ἐκέλευσε παίοντα αὐτὸν ἀναγαγεῖν πρὸς τὸν μυλῶνα, καὶ τοῦτον δῆσαι.

ιζ'. ΑΛΕΚΤΟΡΕΣ.

Αλεκτόρων δύο μαχομένων [1]περὶ θηλειῶν ὀρνίθων, ὁ εἰς τὸν ἕτερον [2]κατετροπώσατο. κ) [3]ὁ μὲν [4]ἡττηθεὶς, εἰς τόπον κατάσκιον [5]ἀπιὼν ἐκρύβη. ὁ δὲ νικήσας, εἰς ὕψος [6]ἀρθεὶς, καὶ ἐφ' ὑψηλῆ τοίχου σὰς, μεγαλοφώνως ἐβόησε. καὶ παρευθὺς ἀετὸς [7]καταπτὰς, ἥρπασεν αὐτόν· ὁ δ' ἐν σκότῳ κεκρυμμένος, ἀδεῶς ἔκτοτε ταῖς θηλείαις ἐπέβαινεν.

ιη'. ΕΧΙΣ ΚΑΙ ῬΙΝΗ.

[8]Ἔχις εἰσελθὼν εἰς χαλκουργεῖ ἐργαστήριον, [9]ἐκ τῶν σκευῶν τῶν ὅπλων, ἐζήτει φαγεῖν· ἦκεν ἓν πρὸς τὴν ῥίνλω. καί αὐτην [10]παρεκάλει [11]δῆναι αὐτῷ τι· ἡ δὲ [12]ἀποτυχοῦσα εἶπεν· ἀλλ' εὐήθης εἶ παρ' ἐμοῦ [13]τι ἀποίσεσθαι οἰόμενος, [14]ἥτις ἐ διδόναι, ἀλλὰ λαμβάνειν παρὰ πάντων [15]ἔωθα.

ιθ'. ΛΥΚΟΣ ΚΑΙ ΓΕΡΑΝΟΣ.

Λύκου λαιμῷ ὀστέον [16]ἐπεπήγει· ὁ δὲ γεράνῳ μισθὸν [17]παρέξειν εἶπεν, εἰ [18]τὴν κεφαλὴν αὐτῆς ὑποβαλοῦσα, τὸ ὀστοῦν ἐκ τοῦ λαιμοῦ αὐτοῦ [19]ἐκβάλοι· ἡ δὲ τοῦτ' ἐκβαλοῦσα, [20]δολιχόδειρος οὖσα, τὸν μισθὸν [21]ἐπεζήτει· ὅσις γελάσας, Ϲ τοὺς ὀδόντας [22]θήξας, [23]ἀρκεῖ σοι μισθὸς, ἔφη, τοῦτο Ϲ μόνον, ὅτι ἐκ λύκου Ϲόματος Ϲ ὀδόντων [24]ἐξῆρες πάραν σῶαν, [25]μηδὲν παθοῦσαν.

κ'.

κ΄. ΑΛΩΠΗΞ ΛΙΜΩΤΤΟΥΣΑ.

Ἀλώπηξ λιμώττȣσα ἐν πείνῃ [1]ἐθεάσατο βοσκȣ̃ κρέα ⲥ̀ ἄρτον, ἐπί τινα καλύβην ὑπ' αὐτȣ̃ [2]καταλειφθέντα, ⲥ̀ [3]εἰσελθȣ̃σα διὰ ϛενωτάτης ὀπῆς, ἔφαγεν αὐτὰ ἡδέως. [4]ἐξογκωθεῖσα δὲ, ⲥ̀ μὴ δυναμένη [5]ἐξελθεῖν τ̃ καλύβης, [6]ἔϛενε ⲥ̀ ὠλοφύρετο. ἑτέρα δὲ ἀλώπηξ διερχομένη ἤκȣσεν αὐτῆς τῶν ϛεναγμῶν, ⲥ̀ προσελθȣ̃σα ἐπυνθάνετο τὴν αἰτίαν, καὶ [7]μαθȣ̃σα ἔφη· μένε τέως ἐνταῦθα, ἕως ἂν [8]τοιαύτη [9]γένῃ [10]ὁποία ȣ̃σα εἰσῆλθες.

κά. ΛΕΩΝ ΚΑΙ ΟΝΟΣ.

Λέων καὶ ὄνος [11]κοινωνίαν θέμενοι, ἐξῆλθον ἐπὶ θήραν. [12]γενομένων δὲ αὐτῶν κατά τι σπήλαιον ἐν ᾧ [13]αἶγες ἄγριαι, ὁ μὲν λέων πρὸ τȣ̃ ϛομίȣ [14]ϛὰς, [15]ἐξιȣ́σας τὰς αἶγας [16]συνελάμβανεν. ὁ δὲ ὄνος ἐνδὸν εἰσελθὼν [17]ἐνήλατο αὐταῖς, καὶ [18]ὠγκᾶτο ἐκφοβεῖν βȣλόμενος. τȣ̃ δὲ λέοντος τὰς [19]πλείϛας συλλαβόντος, ἐξελθὼν ἐκεῖνος ἐπυνθάνετο αὐτȣ̃ εἰ γενναίως [20]ἠγωνίσατο, καὶ τὰς αἶγας [21]ἐξεδίωξεν. ὁ δὲ εἶπεν, ἀλλ' [22]εὖ ἴσθι ὅτι κἀγὼ [23]ἂν σε ἐφοβήθην, [24]εἰ μὴ ἤδειν σε ὄνον ὄντα.

κβ΄. ΕΛΑΦΟΣ.

Ἔλαφος διψήσας ἐπὶ πηγὴν ἦλθεν· ἰδὼν δὲ τὴν ἑαυτȣ̃ σκιὰν, τȣ̀ς μὲν πόδας [25]ἐμέμφετο ὡς λεπτȣ̀ς ⲥ̀ ἀσθε-

νεῖς ὄντας. τὰ ᾗ κέρατα αὐτῦ [1]ἐπήνει, ὡς μέγισα Ϲ ἐυμήκη· [2]μηδέπω πιὼν, κυνηγῦ καλαλαϐόντος, ἔφευγεν. [3]ὅπ πολὺν ᾗ τόπον δραμὼν Ϲ εἰς ὕλην [4]ἐμϐὰς, τοῖς κέρασιν [5]ἐμπλακεὶς [6]ἐθηρεύθη, ἔφη ᾗ· ὦ μάλαιος ἐγὼ! ὃς ϵ̓κ μὲν τῶν ποδῶν [7]ἐσώθλω οἷς ἐμεμφόμλω, ϵ̓κ ᾗ τῶν κεράτων [8]προεδόθλω, [9]οἷς ϵ̓καυχώμλω.

κγ'. ΑΛΕΚΤΡΥΟΝΕΣ ΚΑΙ ΠΕΡΔΙΞ.

Ἀλεκτρυόνας τὶς ἔχων ὅπ τῆς οἰκίας, πριάμϐος Ϲ πέρδικα, σὺν ἐκείνοις [10]ἀφῆκε νέμεσθ. τῶν ᾗ τυπλόνλων αὐτὸν, καὶ ἀπελαυνόνλων, ἐκεῖνος [11]ἠθύμει σφόδρα, νομίζων, ὡς ἀλλόφυλος, ταῦτα πάσχειν ὑπὸ τῶν ἀλεκτρυόνων· ὡς ᾗ [12]μετὰ μικρὸν, κἀκείνυς [13]ἑώρακε μαχομένυς, καὶ ἀλλήλυς κόπτοντας, [14]ϵ̓ λύπης ἀπολυθεὶς, ἔπεν· ἀλλ' ἔγωγε [15]ἀπὸ ϐ νῦν ϵ̓ λυπήσομαι, ὁρῶν καὶ αὐτὲς [16]μαχομένυς ἀλλήλοις.

κδ'. ΑΛΩΠΗΞ ΚΑΙ ΚΟΡΑΞ.

Κοραξ, κρέας ἁρπάσας, ὅπ τινος δένδρϖ [17]ἐκάθισεν. ἀλώπηξ ᾗ τῦτον ἰδῦσα, καὶ βελ̣ηθεῖσα [18]ϖ̃ δελεενέσθ τῦ κρέαλος, [19]ϛᾶσα κάτωθεν ἐπῄνει αὐτὸν, ὡς εὐμεγεθὲς καὶ καλὸν ὄρνεον λέγυσα, καὶ θηρευλικὸν καὶ εὔμορφον· [20]καὶ ὅτι ἥρμοζέ σοι βασιλέα ε̃ναι ὀρνέων [21]ϵ̓ καὶ φωνητικὸς ὑπῆρχες· ἀλλ' ὦ ποῖον ὄρνεον, καὶ

ἄλαλον

ἄλαλον ὑπάρχεις. ὁ δὲ κόραξ, ἀκούσας ταῦτα καὶ [1]χαυνωθεὶς τοῖς ἐπαίνοις, ῥίψας τὸ κρέας, [2]μεγάλως ἐκεκράγει. ἡ δ' ἀλώπηξ, δραμοῦσα καὶ λαβοῦσα τὸ κρέας, ἔφη πρὸς αὐτὸν, ἔχεις κόραξ ἅπαντα· [3]νοῦς δέ γε λείπει.

κε'. ΜΥΕΣ.

Μῦς ἀγροῖος ἀστικῷ γίνεσθαι φίλος μυΐ, καὶ [4]τὴν φιλίαν πιστούμενος, πρῶτος εἰς ἀγρὸν τὸν ἀστικὸν παρελάμβανεν, καὶ ξενίαν αὐτῷ [5]παρεσίθει καὶ τράπεζαν, ἃ φέρειν [6]οἷδε τοῖς ἐνοικοῦσιν ἀγρόν. ἀμειβόμενος δὲ τὴν ξενίαν ὁ ἀστικὸς, εἰς ἄστυ τὸν ἀγροῖον ἐκόμιζεν, καὶ εἰς ἀνδρὸς εὐπόρου παρελάμβανεν οἶκον. ὡς δὲ [7]τῶν ὄντων ἤδη προσάπλεως ἤθελον, προσιὼν τις [8]ἀνέκοπτε· καὶ τοσαυτάκις τὸν ἐν τοις ὄψοις [9]ἀπηλαύνοντο πείρας, ὁσάκις [10]ἐπειρῶντο μεταλαμβάνειν. καὶ [11]τελευταῖον ὁ ἀγροῖος, ἄπειμι, ἔφη, τὴν ἐν ἀγροῖς [12]προτιμῶν μετριότητα, τὸν ἐν ἄστει τρυφῆς.

κς'. ΑΛΩΠΕΚΕΣ.

Ἀλώπηξ ἐν παγίδι [13]ληφθεῖσα, καὶ [14]ἀποκοπεῖσης τὸν οὐρᾶς [15]ἀμαθρᾶσα, [16]ἀβίωτον, ὑπ' αἰσχύνης, ἡγεῖτο τὸν βίον. [17]ἔγνω δὲ καὶ τὰς ἄλλας ἀλώπεκας τοῦτ' αὐτὸ νοθετῆσαι, ὡς ἂν τῷ κοινῷ πάθει τὸ ἴδιον [18]συγκαλύψειεν αἶσχος. καὶ δὴ πάσας ἀθροίσασα, [19]παρῄνει τὰς

οὐρᾶς

ἐρας ἀποκόπται, [1]ὡς ἐκ ἀπρεπὲς μόνον τοῦτο τὸ μέλος ὂν, ἀλλὰ καὶ φορτίου βάρος [2]προσηρτημένον. [3]ὑπολαβοῦσα δέ τις αὐτῶν εἶπεν, [4]ὦ αὕτη, [5]ἀλλ' εἰ ἐ σοὶ τοῦτο προσέφερεν, ἐκ ἂν ἡμῖν αὐτὸ συνεβούλευες.

κζ'. ΛΕΩΝ ΚΑΙ ΟΝΟΣ ΚΑΙ ΑΛΩΠΗΞ.

Λέων καὶ ὄνος καὶ ἀλώπηξ [6]κοινωνίαν ποιησάμενοι, ἐξῆλθον πρὸς ἄγραν. πολλῆς δ' ἦν θήρας [7]συλληφθείσης, προσέταξεν ὁ λέων τῷ ὄνῳ [8]διελεῖν αὐτοῖς. ὁ δὲ τρεῖς μερίδας ποιησάμενος [9]ἐκ τῶν ἴσων, [10]ἐκλέξασθαι τούτους προὐτρέπετο. καὶ ὁ λέων [11]θυμωθεὶς, τὸν ὄνον καθέφαγεν. εἶτα τῇ ἀλώπεκι μερίζειν ἐκέλευσεν. ἡ δ' εἰς μίαν μερίδα πάντα [12]σωρεύσασα, ἑαυτῇ βραχύ τι κατέλιπε. καὶ ὁ λέων πρὸς αὐτὴν, τίς σε, ὦ βελτίστη, ἀφιρεῖν ὕτως ἐδίδαξεν; ἡ δ' εἶπεν, τοῦ ὄνου συμφορά.

κή'. ΒΑΤΡΑΧΟΙ.

Βάτραχοι λυπούμενοι διὰ τὰ ἑαυτῶν ἀναρχίας, πρέσβεις ἔπεμψαν πρὸς τὸν [13]Δία, βασιλέα αὐτοῖς [14]παραχεῖν. ὁ δ', [15]συνιδὼν αὐτῶν τὴν εὐήθειαν, ξύλον εἰς τὴν λίμνην [16]καθῆκεν· καὶ οἱ βάτραχοι, [17]τὸ μὲν πρῶτον [18]καταπλαγέντες τὸν ψόφον, εἰς τὰ βάθη τὰ λίμνης [19]ἔδυσαν. [20]ὕστερον δὲ, ὡς ἀκίνητον ἦν τὸ ξύλον, [21]ἀναδυντές, εἰς τοσοῦτον [22]καταφρονήσεως ἦλθον,

ἦλθον, ὡς καὶ ἐπιβαίνοντες αὐτῷ [1] ἐπικαθέζεσθαι. [2] ἀναξιοπαθοῦντες δὲ τοιοῦτον ἔχειν βασιλέα, ἧκον, [3] ἐκ δευτέρου, πρὸς τὸν Δία, καὶ τοῦτον [4] παρεκάλουν [5] ἀλλάξαι αὐτοῖς τὸν ἀρχηγόν. τὸν γὰρ πρῶτον λίαν εἶναι νωχελῆ καὶ ἀδόκιμον. ὁ δὲ Ζεὺς, ἀγανακτήσας κατ' αὐτῶν, ὕδρον αὐτοῖς ἔπεμψεν, ὑφ' οὗ συλλαμβανόμενοι κατησθίοντο.

κθ'. ΒΟΥΚΟΛΟΣ.

Βουκόλος ἀγέλην ταύρων βόσκων, [6] ἀπώλεσε μόσχον. [7] περιελθὼν δὲ [8] πᾶσαν τὴν ἔρημον, [9] διέτριβεν ἐρευνῶν· ὡς δὲ οὐδὲν εὑρεῖν [10] ἠδυνήθη, [11] ηὔξατο τῷ Διΐ, ἂν τὸν λαβόντα μόσχον κλέπτην [12] ὑποδείξῃ, ἔριφον εἰς θυσίαν [13] προσάξειν. καὶ δὴ ἐρχόμενος εἴς τινα δρυμῶνα, εὑρίσκει λέοντα κατεσθίοντα τὸν μόσχον. ἔμφοβος οὖν γενόμενος, καὶ [14] μέγα δειλιάσας, [15] ἐπάρας τὰς χεῖρας αὐτοῦ εἰς τὸν οὐρανὸν, εἶπεν, ὦ δέσποτα Ζεῦ! [16] ἐπηγγειλάμην σοὶ ἔριφον δώσειν, ἐὰν τὸν κλέπτην εὕρω· νῦν ταῦρὸν σοὶ θύσειν ὑπισχνοῦμαι, ἐὰν τούτου τὰς χεῖρας ἐκφύγω.

λ'. ΚΥΩΝ ΚΑΙ ΑΛΕΚΤΡΥΩΝ.

Κύων καὶ ἀλεκτρυὼν ἑταιρείαν ποιησάμενοι, [17] ὥδευον. [18] ἑσπέρας δὲ καταλαβούσης, ὁ μὲν ἀλεκτρυὼν ἐπὶ δένδρου ἐκάθευδεν ἀναβάς· ὁ δὲ κύων πρὸς τῇ ῥίζῃ τοῦ δένδρου κοίλωμα ἔχοντος. τοῦ δὲ ἀλεκτρυόνος, [19] κατὰ τὸ εἰωθὸς, νύκτωρ φωνήσαντος, ἀλώπηξ ἀκούσασα,

σασα, πρὸς αὐτὸν [1]ἔδραμε· καὶ ϛᾶσα κάτωθεν, πρὸς ἑαυτὴν κατελθεῖν [2]ἠξίου, [3]ἐπιθυμεῖν γὰρ ἀγαθὴν οὕτω φωνὴν ζῶον ἔχον ἀσπάσασθαι. [4]τοῦ δὲ εἰπόντος τὸν θυρωρὸν πρότερον διϋπνίσαι ὑπὸ τὴν ῥίζαν καθεύδοντα, [5]ὡς ἐκείνου ἀνοίξαντος κατελθεῖν· κἀκείνης ζητούσης αὐτὸν φωνῆσαι, ὁ κύων, αἴφνης πηδήσας, αὐτὴν [6]διεσπαράξεν.

λα'. ἘΡΜΗΣ ΚΑΙ ΑΓΑΛΜΑΤΟΠΟΙΟΣ.

Ἑρμῆς [7]γνῶναι βουλόμενος ἐν τίνι τιμῇ παρ' ἀνθρώποις ἐϛὶν, ἧκεν [8]εἰς ἀγαλματοποιοῦ, ἑαυτὸν [9]εἰκάσας ἀνθρώπῳ. καὶ θεασάμενος ἄγαλμα τοῦ Διὸς, [10]ἠρώτα, [11]πόσου τὶς αὐτὸ πρίασθαι δύναται; [12]τοῦ δὲ εἰπόντος, δραχμῆς, γελάσας, [13]πόσου τὸ τῆς Ἥρας, ἔφη. [14]εἰπόντος δὲ, πλείονος. ἰδὼν καὶ τὸ ἑαυτοῦ ἄγαλμα, καὶ νομίσας, ὡς ἐπειδὴ ἄγγελός ἐϛι θεῶν καὶ κερδῶος, πολὺν αὐτοῦ παρὰ τοῖς ἀνθρώποις εἶναι τὸν λόγον, [15]ἤρετο περὶ αὐτοῦ. ὁ δ' ἀγαλματοποιὸς ἔφη· [16]ἐὰν τούτους ὠνήσῃ, καὶ τοῦτον προσθήκην σοὶ δίδωμι.

II.

II.

Ex *HIEROCLIS* FACETIIS.

[1]ΙΕΡΟΚΛΟΥΣ ΑΣΤΕΙΑ.

ά. ΣΧΟΛΑΣΤΙΚΟΣ κολυμβᾶν βελόμενος, [2]παρὰ μικρὸν ἐπνίγη. [3]ὤμοσεν ἓν μὴ ἅψασθαι ὕδατος, [4]ἐὰν μὴ πρῶτον μάθῃ κολυμβᾶν.

β. Σχολασικὸς φίλῳ [5]συναντήσας εἶπε, καθ' ὕπνους [6]σε ἰδὼν προσηγόρευσα. [7]Ὁ δ', σύγγνωθί μοι, ὅτι ὐ προσέχον.

γ. Σχολασικὸς [8]νοσοῦντα ὀπισκεπτόμενος, ἠρώτα αὐτὸν περὶ ὑγιείας· Ὁ δ' οὐκ [9]ἠδύνατο [10]ἀποκριθῆναι· [11]ὀργισθεὶς ἓν ἐξήλεγξεν, [12]ἐλπίζω κἀμὲ νοσῆσαι, καὶ ἐλθόντι σοι μὴ ἀποκριθῆναι.

δ. Σχολασικὸς ἰατρῷ συναντήσας, συγχώρησόν μοι, εἶπε, [13]καὶ μή μοι μέμψῃ, ὅτι οὐκ ἐνόσησα.

έ.

έ. Σχολαςικὸς θέλων τὸν ἵππον αὐτȣ̃ διδάξαι μὴ τρώγειν πολλὰ, ȣ̓ παρέβαλεν αὐτῷ προφάς. [1]Ἀποθανόντος δὲ τȣ̃ ἵππȣ τῷ λιμῷ, ἔλεγε· [2]Μέγα ἐζημιώθην· [3]ὅτε γὰρ ἔμαθε μὴ τρώγειν, τότε ἀπέθανε.

ϛ΄. Σχολαςικὸς οἰκίαν πωλῶν, λίθον ἀπ' αὐτῆς εἰς δεῖγμα [4]περιέφερε.

ζ΄. Σχολαςικὸς θέλων [5]εἰδέναι, εἰ πρέπει αὐτῷ κοιμᾶσθαι, [6]καμμύσας ἐσοπτρίζετο.

ή. Σχολαςικὸς ἰατρῷ συναντήσας ὑπὸ τοίχȣ [7]ἐκρύβη. [8]Τινὸς δὲ πυθομένȣ τὴν αἰτίαν, ἔφη, [9]καιρὸν ἔχω μὴ ἀσθενήσας, καὶ αἰσχύνομαι εἰς ὄψιν ἐλθεῖν τȣ̃ ἰατρȣ̃.

θ΄. Σχολαςικὸς [10]ἀμιναῖαν ἔχων, [11]ἐσφράγισεν αὐτήν. Τȣ̃ δὲ δȣ́λȣ κάτωθεν [12]τρήσαντος, καὶ τὸν οἶνον αἴροντος, ἐθαύμαζεν ὅτι, τῶν σημάντρων σώων ὄντων, ὁ οἶνος [13]ἐλαττȣ̃το. ἕτερος εἶπεν, ὅρα, [14]μὴ κάτωθεν ἀρφῃρέθη. Ὁ δὲ, ἀμαθέςατε, εἶπεν, [15]ȣ̓ τὸ κάτωθεν λείπει, ἀλλὰ τὸ ἄνωθεν μέρος.

ί. Σχολαςικὸς ἰδὼν ςρȣθία ἐπὶ δένδρȣ, λάθρα [16]ὑπεισελθὼν [17]ὑφαπλώσατο [18]τὸν κόλπον, καὶ ἔσειε τὸ δένδρὸν, [19]ὡς ὑποδεξόμενος τὰ ςρȣθία.

ιά. Σχολαςικὸς σχολαςικῷ συναντήσας εἶπεν, [20]ἔμαθον ὅτι ἀπέθανες· κἀκεῖνος, ἀλλ' ὁρᾷς με ἔτι,

ζῶντα· [1] ἢ ὁ σχολαστικὸς, ἢ μὼ ὁ εἰπών μοι πολλῷ σε ἀξιοπιστότερος ὑπάρχει.

ιβ'. Σχολαστικὸς, ἐν τῷ ἰδίῳ ἀγρῷ ἐξιὼν, ἠρώτα [2] πιεῖν ὕδωρ, εἰ καλὸν, ἐν τῷ αὐτόθι φρέατι· [3] τῶν δὲ φησάντων ὅτι καλὸν, ἢ γὰρ οἱ γονεῖς αὐτὸ ἐξ αὐτοῦ ἔπινον· ἢ πηλίκος, ἔφη, εἶχον τραχήλος, ὅτι εἰς τοσοῦτον βάθος πίνειν [4] ἠδύναντο!

ιγ'. Σχολαστικὸς [5] μαθὼν ὅτι ὁ κόραξ ὑπὲρ τὰ διακόσια ἔτη [6] ζῇ, [7] ἀγοράσας κόρακα εἰς ἀπόπειραν ἔτρεφε.

ιδ'. Σχολαστικὸς [8] εἰς χειμῶνα ναυαγῶν, [9] ἢ τῶν συμπλεόντων ἑκάστῳ συμπλεκομένων σκεύης πρὸς τὸ σωθῆναι, ἑκεῖνος μίαν τῶν ἀγκυρῶν συνεπλέξατο.

ιέ. Διδύμων ἀδελφῶν εἷς [10] ἐτελεύτησε. Σχολαστικὸς ἓν ἀπαντήσας τῷ ζῶντι ἠρώτα, [11] σὺ ἀπέθανες, ἢ ὁ ἀδελφός σε;

ις'. Σχολαστικὸς, [12] ναυαγεῖν μέλλων, πινακίδας ἤτει, ἵνα διαθήκας γράφῃ· τοὺς δὲ οἰκέτας ὁρῶν ἀλγοῦντας διὰ τὸ κινδύνῳ, ἔφη, μὴ λυπεῖσθε, [13] ἐλευθερῶ γὰρ ὑμᾶς.

ιζ'. Σχολαστικὸς πόλαμὸν βιβλόμενος περάσαι, [14] ἀνῆλθεν εἰς τὸ πλοῖον ἔφιππος· πυθομένου δέ τινος τὴν αἰτίαν, [15] ἔφη, σπεύδειν.

ιή. Σχολαστικὸς ἀπορῶν δαπανημάτων, τὰ βιβλία αὐτῦ ἐπίπρασκε, καὶ γράφων πρὸς τὸν πατέρα, ἔλεγε· [1] σύγχαιρε ἡμῖν, [2] πάτερ· ἤδη γὰρ ἡμᾶς [2] τὰ βιβλία τρέφει.

ιθ. Σχολαστικῦ παιδίον ἀπέθανεν· [3] ἰδὼν δὲ πλῆθος λαῦ συνελθεῖν, ἔλεγεν· Αἰσχύνομαι εἰς τοσῦτον ὄχλον μικρὸν παιδίον προφέρειν.

κ. Σχολαστικῦ υἱὸς, [4] ὑπὸ τῦ πατρὸς εἰς πόλεμον ἐκπεμπόμενος, [5] ὑπέσχετο ἑνὸς τῶν ἐχθρῶν κεφαλὴν [6] ἀγαγεῖν. [7] Ὁ δὲ ἔφη, [8] εὔχομαι καὶ χωρὶς κεφαλῆς σε ἐλθόντα, μόνον ὑγιῆ ὄντα ἰδεῖν, καὶ εὐφρανθῆναι.

κα. Σχολαστικῷ φίλος ἔγραψεν ἐν Ἑλλάδι ὄντι, βιβλία αὐτῷ ἀγοράσαι· [9] τῦ δὲ ἀμελήσαντος, ὡς, μετὰ χρόνον, [10] τῷ φίλῳ συνώφθη, εἶπε· τλὼ ὀπισολῶ, ἦν περὶ βιβλίων [11] ἀπέστειλάς μοι, [12] οὐκ ἐκομισάμην.

III.

III.

Ex *PALÆPHATO*

DE INCREDIBILIBUS HISTORIIS.

---

[1]ΠΑΛΑΙΦΑΤΟΥ

ΠΕΡΙ

ΑΠΙΣΤΩΝ ΙΣΤΟΡΙΩΝ.

Ι. ΠΕΡΙ ΚΕΝΤΑΥΡΩΝ.

[2]ΦΑΣΙΝ ὡς θηρία ἐγένοντο, καὶ ἵππων μὲν [3]ἔχον ὅλων τὴν ἰδέαν, πλὴν τῆς κεφαλῆς· [4]ταύτην δὲ ἀνδρός. Εἴ τις ἦν πάλαι, τοιοῦτον ψευδῆ θηρίον, [5]ἀδύνατον πεπίστευκεν· ἔστε γὰρ ἡ φύσις [6]σύμφωνος ἵππου καὶ ἄνδρος, ἔστε ἡ τροφὴ ὁμοία, ἔστε διὰ σώματος καὶ φάρυγγος ἀνθρωπείου δυνατὸν ἵππου τροφὴν [7]διελθεῖν· εἰ δὲ τοιαύτη ἰδέα τότε ἦν, [8]καὶ νῦν ἂν ὑπῆρχε. [9]Τὸ δ' ἀληθὲς [10]ἔχει ὧδε. Ἰξίονος βασιλέως ὄντος Θεσσαλίας,

σαλίας, ἐν τῷ Πηλίῳ ὄρει [1] ἀπηγριώθη ταύρων ἀγέλη, ☾ τὰ λοιπὰ τῶν ὀρῶν ἄβατα ἐποίει· εἰς γὰρ τὰ [2] οἰκούμενα καταιόντες οἱ ταῦροι, ἔσινον τὰ δένδρα, καὶ τοὺς καρπούς, καὶ τὰ [3] ὑποζύγια συνδιέφθειραν. [4] Ἐκήρυξεν οὖν ὁ Ἰξίων, ὡς, εἴ τις ἀνέλοι τοὺς ταύρους, τούτῳ δώσειν χρήματα πάμπολλα. Νεανίσκοι δέ τινες ἐκ τῆς ὑπωρείας, ἐκ κώμης τινὸς καλουμένης Νεφέλης, [5] ὀπυιοῦσιν ἵππους κέλητας διδάξαι· πρότερον γὰρ [6] ἐκ ἡπίστατο ἐφ' ἵππων ὀχεῖσθαι, ἀλλὰ μόνον ἅρμασιν [7] ἐχρῶντο. [8] Οὕτω δὲ ἀναβάντες τοὺς κέλητας ἤλαυνον, ἐφ' οἷς οἱ ταῦροι ἦσαν· καὶ [9] ἐπεισβάλλοντες τῇ ἀγέλῃ, ἠκόντιζον. καὶ ὅτε μὲν ἐδιώκοντο ὑπὸ τῶν ταύρων, ἀπέφευγον οἱ νεανίαι· ποδωκέστεροι γὰρ ἦσαν οἱ ἵπποι. [10] ὅτε δὲ ἔστησαν οἱ ταῦροι, ὑποστρέφοντες ἠκόντιζον. ☾ [11] τοῦτον τὸν τρόπον ἀνεῖλον αὐτούς. ☾ Τὸ μὲν ὄνομα ἐντεῦθεν ἔλαβον οἱ Κένταυροι, ὅτι τοὺς ταύρους [12] κατεκέντουν, ([13] οὐδὲν γὰρ πρόσεστι ταύροις τοῖς Κενταύροις· ἀλλ' ἵππος ☾ ἀνδρὸς ἰδέαν ἔσχεν.) ἀπὸ τοῦ ἔργου. Λαβόντες γὰρ οἱ Κένταυροι παρὰ Ἰξίονος χρήματα, ☾ γαυριῶντες ὅτι τῇ πράξει, καὶ τῷ πλούτῳ, [14] ὑβρισταὶ ὑπῆρχον καὶ ὑπερήφανοι, καὶ πολλὰ κακὰ ἠργάζοντο, καὶ δὴ καὶ κατ' αὐτοῦ τοῦ Ἰξίονος, [15] ὃς ᾤκει τὴν νῦν καλουμένην Λάρισσαν πόλιν. οἱ δὲ τότε τοῦτο τὸ χωρίον οἰκοῦντες, Λαπίθαι ἐκαλοῦντο. [16] κεκλημένοι δὲ οἱ Κένταυροι παρὰ τῶν Λαπίθων ὅτι θοίνην, μεθυσθέντες ἁρπάζουσι

ἁρπάζεσι τὰς γυναίκας αὐτῶν, καὶ ἀναβιβάσαντες ὀπὶ τὰς ἵππους αὐτὰς, [1] ᾤχοντο φεύγοντες [2] εἰς τὴν οἰκείαν ὅθεν [3] ὡρμῶντο. [4] ἐπολέμουν ἔν τοῖς Λαπίθαις, καὶ καταβαίνοντες διὰ νυκτὸς εἰς τὰ πεδία, [5] ἐνέδρας ἐποίουν. ἡμέρας δὲ γινομένης, ἁρπάζοντες [6] ἀπέτρεχον ὀπὶ τὰ ὄρη. ἔτω δ' ἀπερχομένων αὐτῶν, ἵππων ὠραὶ, καὶ ἀνθρώπων κεφαλαὶ μόνον ἐφαίνοντο. ξένην ἔν ὁρῶντες θέαν, ἔλεγον· Οἱ Κένταυροι ἡμᾶς, καταγέχοντες ἐκ Νεφέλης, πολλὰ κακὰ ἐργάζονται. ἀπὸ δὴ ταύτης τ' ἰδέας καὶ λόγε ὁ μῦθος ἀπίσως [7] ἐπλάσθη, ὡς ἐκ τ' νεφέλης ἵππος ἐγένετο, καὶ ἀνὴρ, ἐγεννήθη ἐν τῷ ὄρει.

2. ΠΕΡΙ ΤΟΥ ΑΚΤΑΙΩΝΟΣ.

Φασὶν Ἀκταίωνα ὑπὸ τῶν ἰδίων κυνῶν [8] καταβρωθῆναι. Τῦτο δέ ἐσι ψευδές. κύων γάρ τ' δεσπότου καὶ μάλισα φιλεῖ. ἄλλως τε καὶ [9] αἱ θηρευτικαὶ πάντας ἀνθρώπες σαίνεσιν. ἔνιοι δέ φασιν, ὅτι Ἀρτέμιδος αὐτὸν μεταβαλλέσης εἰς ἔλαφον, [10] ἀνεῖλον κύνες. ἐμοὶ δὲ δοκεῖ, Ἄρτεμιν ἐ δύνασθαι, ὃ θέλει, ποιῆσαι· ἐ μέντοι δὲ ἀληθές, ἔλαφον ἐξ ἀνδρὸς γενέσθαι, ἢ ἐξ ἐλάφε ἄνδρα. τὰς δὲ μύθους τέτες [11] συνέθεσαν οἱ ποιηταὶ, ἵνα οἱ ἀκροώμενοι μὴ ὑβρίζωσιν εἰς τὸ θεῖον. Τὸ δὲ ἀληθὲς ἔτως ἔχει. Ἀκταίων ἄνθρωπος ἦν [12] τὸ γένος Ἀρκάδιος, φιλοκύνηγος. ἔτος ἔτρεφε κύνας πολλὰς, καὶ ἐθήρευεν ἐν

τοῖς

τοῖς ὄρεσι. τῶν δὲ αὐτῦ πραγμάτων [1] ἠμέλει. οἱ γὰρ τότε ἄνθρωποι αὐτεργοὶ πάντες ἦσαν. οἰκέτας δὲ εἶχον ὐδ' ὅλως, ἀλλ' αὐτοὶ [2] ἐγεώργεν. κὴ ἦτος ἦν πλυσιώτατος, ὅς ἐγεώργει, κὴ ἐργασικώτατος ὑπῆρχε. Τῷ δὲ Ἀκλαίωνι ἀμελῆντι [3] τῶν οἰκείων, μᾶλλον δὲ κυνηγετῆντι, [4] διεφθάρη ὁ βίος. ὅτε δὲ [5] ἐκέτι εἶχεν ὐδὲν, ἔλεγον οἱ ἄνθρωποι· Δέλαιος Ἀκταίων ὑπὸ τῶν ἰδίων κυνῶν κατεβρώθη.

3. ΠΕΡΙ ΤΩΝ ΑΝΘΡΩΠΟΦΑΓΩΝ ΙΠΠΩΝ ΔΙΟΜΗΔΟΥΣ.

Περὶ τῶν Διομήδες ἵππων φασὶν, ὅτι ἀνθρώπες κατήθιον. Τῦτο δὲ [6] γελοῖον. τὸ γὰρ ζῶον τῦτο κριθῇ κὴ χόρτῳ ἥδεται [7] μᾶλλον, ἢ κρέασιν ἀνθρωπίνοις. [8] ἡ δὲ ἀλήθεια ἥδε. Τῶν παλαιῶν ἀνθρώπων ὄντων αὐτεργῶν, κὴ τροφὴν κὴ οὐσίαν πλέσιω [9] κεκτημένων, ἅτε τὴν γῆν ἐργαζομένων· [10] ἱπποτροφεῖν ἦτος ἐπελάβετο, κὴ [11] μέχρι τύτε ἵπποις ἥδελο, ἕως ἦ [12] τὰ αὐτῦ ἀπώλεσε, [13] κὴ πάντα πωλῶν καληνάλωσεν εἰς τὴν τῶν ἵππων τροφήν. οἱ ἦν φίλοι τὲς ἵππες ἀνδροφάγες ὠνόμασαν. [14] ἦ γενομένε τροήχθη ὁ μῦθος.

4. ΠΕΡΙ ΝΙΟΒΗΣ.

Φασὶν, ὡς Νιόβη [15] ζῶσα λίθος ἐγένετο ὅτι τῷ τύμβῳ τῶν παίδων. ὅσις δὲ πάθεται, ἐκ λίθε γενέσθ ἄνθρωπον,

ἄνθρωπον, ἢ ἐξ ἀνθρώπε λίθον, εὐήθης ἐσί. Τὸ δὲ ἀληθὲς ἔχει ὧδε. Νιόβη, ἀποθανόντων τῶν ἑαυτῆς παίδων, ποιήσασα ἑαυτῇ εἰκόνα λιθίνιω, ἔσησεν ὅπι τῷ τύμβῳ τῶν παίδων. καὶ ἡμεῖς [1] ἐθεασάμεθα αὐτὴν, [2] οἵα καὶ λέγεται.

5. ΠΕΡΙ ΛΥΓΚΕΩΣ.

Λυγκέα λέγεσιν, ὡς τὰ [3] ὑπὸ γῆν ἑώρα. Τοῦτο δὲ [4] ψεῦδος. τὸ δὲ ἀληθὲς ἔχει ὧδε. Λυγκεὺς [5] πρῶτος ἤρξατο μεταλλεύειν χαλκὸν, καὶ ἄργυρον, καὶ τὰ λοιπά. ἐν δὲ τῇ μεταλλεύσει λύχνες καταφέρων ὑπὸ τὴν γῆν, τὰς μὲν [6] καθέλιπεν ἐπὶ τοῦ τόπε. αὐτὸς δὲ ἀνέφερε τὸ χαλκὸν καὶ τὸ σίδηρον. ἔλεγον δὲ οἱ ἄνθρωποι, ὅτι Λυγκεὺς καὶ τὰ ὑπὸ γῆν ὁρᾷ, καὶ καταδύνων, ἀργύριον ἀναφέρει.

6. ΠΕΡΙ ΚΑΙΝΕΩΣ.

Καινέα φασὶν, ὅτι ἄτρωτος ἦν. ὃς δ' ὑπολαμβάνει ἄτρωτον ἀπὸ σιδήρε ἄνθρωπον, εὐήθης ἐσὶν. ἡ δὲ ἀλήθεια ἔχει ὅτως. Καινεὺς ἦν ἀνὴρ Θετταλὸς τῷ γένει, [7] ἀγαθὸς τὰ πολεμικὰ καὶ ὁπισήμων τοῦ μάχεσθαι. Γενόμενος δὲ ἐν πολλαῖς μάχαις, ἐδέποτε [8] ἐτρώθη, ὅτε Λαπίθαις συμμαχῶν πρὸς τῶν Κενταύρων [9] ἀπέθανεν, [10] ἀλλὰ συλλαβόντες αὐτὸν μόνον κατέχωσαν, καὶ ὅτως [11] ἐτελεύτησεν. ἔλεγον δὲ οἱ Λαπίθαι, [12] ἀνελόμενοι τὸ νεκρὸν αὐτε, καὶ εὑρόντες μὴ τετρωμένον τὸ σῶμα, Καινεὺς

νεὺς [1] τὸν γε ἄλλον βίον ἄτρωτος ἦν, καὶ ἀπέθανεν ἄτρωτος.

7. ΠΕΡΙ ΤΗΣ ΕΥΡΩΠΗΣ.

Φασὶν, Εὐρώπην [2] τὴν Φοίνικος ἐπὶ ταύρου [3] ὀχουμένην διὰ τῆς θαλάττης ἐκ Τύρου εἰς Κρήτην [4] ἀφικέσθαι. ἐμοὶ δὲ δοκεῖ, οὔτε ταῦρον, οὔθ' ἵππον τοσοῦτον πέλαγος διανῦσαι δύνασθαι· οὔτε κόρην ἐπὶ ταῦρον ἄγριον [5] ἀναβῆναι. ὅ τε Ζεὺς, εἰ ἐβούλετο Εὐρώπην εἰς Κρήτην ἐλθεῖν, εὗρεν ἂν αὐτῇ ἑτέραν πορείαν καλλίονα. Τὸ δὲ ἀληθὲς ἔχει ὧδε. Ἀνὴρ Κνώσιος, ὀνόματι Ταῦρος, ἐπολέμει τὴν Τυρίαν χώραν. τελευταῖον δὲ ἐκ Τύρου [6] ἥρπασεν ἄλλας τε κόρας, ἀλλὰ δὴ καὶ [7] τὴν τοῦ βασιλέως θυγατέρα, Εὐρώπην. ἔλεγον οὖν οἱ ἄνθρωποι, Εὐρώπην τὴν τοῦ βασιλέως Ταῦρος [8] ἔχων ᾤχετο· τούτου δὲ γενομένου. [9] προσανεπλάσθη ὁ μῦθος.

8. ΠΕΡΙ ΤΟΥ ΑΙΟΛΟΥ.

Λέγουσιν, ὅτι Αἴολος ἦν [10] κυριεύων τῶν πνευμάτων, ὅστις ἔδωκεν Ὀδυσσεῖ τοὺς ἀνέμους [11] ἐν ἀσκῷ. [12] Περὶ δὲ τούτου, [13] ὡς οὐχ' οἷόν τε, δῆλον εἶναι πᾶσιν οἶμαι. εἰκὸς δὲ, ἀστρολόγον γενόμενον Αἴολον φράσαι Ὀδυσσεῖ τοὺς χρόνους, καθ' οὓς [14] ἐπιτολαί τινες ἀνέμων γενήσονται. Φασὶ δὲ, ὅτι καὶ χαλκοῦν τεῖχος [15] τῇ πόλει αὐτοῦ [16] περιεβέβλητο.

βλητο. ὅπερ ἐστὶ ψευδές. ὁπλίτας γὰρ, ὡς οἶμαι, εἶχε, τὴν πόλιν αὐτῆ φυλάττοντας.

9. ΠΕΡΙ ΕΣΠΕΡΙΔΩΝ.

Λέγεσιν, ὅτι γυναῖκές τινες ἦσαν αἱ Ἑσπερίδες. Ταύταις δὲ ἦν μῆλα χρυσᾶ ὑπὸ μηλέας, ἣν ἐφύλαττε δράκων. ἐφ' ἃ μῆλα ὁ Ἡρακλῆς [1] ἐξεβεύσατο. ἔχει δὲ ἡ ἀλήθεια ὧδε. Ἕσπερος ἦν ἀνὴρ Μιλήσιος, ὃς [2] ᾤκει ἐν τῇ Καρίᾳ, καὶ εἶχε θυγατέρας δύο, αἳ ἐκαλοῦντο Ἑσπερίδες. Τούτῳ δὲ ἦσαν ὄϊς καλαὶ, καὶ εὔκαρποι· οἵαι καὶ νῦν αἱ ἐν Μιλήτῳ· ὑπὸ τούτῳ δὴ ὀνομάζονται χρυσαῖ. κάλλιον γὰρ ὁ χρυσός. ἦσαν δὲ ἐκεῖναι κάλλισαι. Μῆλα δὲ καλεῖται τὰ πρόβατα. ἅπερ ἰδὼν ὁ Ἡρακλῆς βοσκόμενα παρὰ τὴν θαλάττην, [3] περιελάσας ἐνέθετο εἰς τὸν ναῦν, καὶ τ' ποιμένα αὐτῶν, ὀνόματι Δράκοντα, [4] εἰσήγαγε εἰς οἶκον, ἐκέτι ζῶντος τοῦ Ἑσπέρου, ἀλλὰ τῶν παίδων αὐτοῦ. ἔλεγον δή οἱ ἄνθρωποι, ἐθεασάμεθα χρυσᾶ μῆλα, ἃ Ἡρακλῆς ἤγαγε ἐξ Ἑσπερίδων, τ' φύλακα ἀποκτείνας δράκοντα. καὶ ἔνθεν ὁ μῦθος [5] προσανεπλάσθη.

10. ΠΕΡΙ ΓΗΡΥΟΝΟΥ.

Γηρυόνην φασὶν, ὅτι τρικέφαλος ἐγένετο· ἀδύνατον δὲ σῶμα τρεῖς κεφαλὰς ἔχειν· ἦν δὲ τοιόνδε τοῦτο. πόλις

ἐσὶν ἐν τῷ Εὐξείνῳ πόντῳ, Τριπαρηνία καλεμένη. ἦν δὲ Γηρυόνης ἐν τοῖς τότε ἀνθρώποις ὀνομαςὸς, πλέτῳ τε καὶ ἄλλοις διαφέρων. εἶχε δὲ ἐ βοῶν ἀγέλλω θαυμασλὼ, ἐφ' ἣν ἐλθὼν Ἡρακλῆς, ἀντιποιεμένου Γηρυόνλω ἔκτεινεν. οἱ δὲ θεώμενοι περιελαυνομένας τὰς βᾶς ἐθαύμαζον. ἦσαν γὰρ τὸ μὲν μέγεθος μικραὶ, ἀπὸ δὲ κεφαλῆς ὅλη τὴν ὀσφὺν μακραὶ, καὶ σιμαὶ, κέρατα ὀκ ἔχεσαι, ὀςᾶ δὲ μακρὰ καὶ πλατέα. πρὸς τὰς πυνθανομένας ἅν ἔλεγόν τινες, Ἡρακλῆς ταύτας ἐλήλασεν, ἅσας Γηρυόνε ἐ Τριπαρήνε· τινὲς δὲ, ὀκ ἐ λεγομένε, ὑπέλαβον αὐτὸν τρεῖς ἔχειν κεφαλάς.

II. ΠΕΡΙ ΟΡΦΕΩΣ.

Ψευδὴς δὲ ὁ περὶ ἐ Ὀρφέως μῦθος, ὅτι κιθαρίζοντι αὐτῷ ἐφέπετο τὰ τετράποδα, καὶ τὰ ὄρνεα, καὶ τὰ δένδρα. δοκεῖ δέ μοι ταῦτα εἶναι. Βάκχαι μανεῖσαι πρόβατα διεσπασαν ἐν τῇ Πιερίᾳ· πολλὰ δὲ ἐ ἀλλὰ βιαίως ἐργάζοντο. τρεπόμεναί τε εἰς τὸ ὄρος, διέτριβον ἐκεῖ τινὰς ἡμέρας. ὡς δὲ ἔμειναν οἱ πολῖται, δεδιότες περὶ τῶν γυναικῶν καὶ θυγατέρων, μεταπεμψάμενοι τὸν Ὀρφέα ἐδέοντο μηχανᾶθαι, ὅν τρόπον καταγάγοι αὐτὰς ἐκ ἐ ὄρες. ὁ δὲ συνταξάμενος τῷ Διονύσῳ Ὀργια, κατάγει αὐτὰς βακχευόσας κιθαρίζων· αἱ δὲ νάρθηκας τότε πρῶτον ἔχεσαι καλέβαινον ἐκ ἐ

ὄρες.

ὄρεσ, καὶ κλῶνας δένδρων παντοδαπῶν. τοῖς δὲ ἀνθρώποις θαυμασὰ τότε θεασαμένοις, [11]ἐνεφαίνετο πρῶτον τὰ ξύλα, καταγόμενα. καὶ [12]ἔφασαν ὅτι Ὀρφεὺς κιθαρίζων ἄγει τὴν ὕλην ἐκ τοῦ ὄρεσ. καὶ ἐκ τότε ὁ μῦθος [3]ἀνεπλάσθη.

12. ΠΕΡΙ ΑΛΚΗΣΤΙΔΟΣ.

Λέγεται [4]μῦθος τραγικώδης, [5]ὡς δὴ μέλλοντός ποτε τοῦ Ἀδμήτου [6]θανεῖν, αὐτὴ [7]εἵλετο ὑπὲρ αὐτοῦ θάνατον. καὶ Ἡρακλῆς αὐτὴν παρὰ τὴν εὐσέβειαν [8]ἀφελόμενος, καὶ ἀναγαγὼν ἐκ τοῦ ᾅδου, [9]ἀπήδωκεν Ἀδμήτῳ.—ἀλλ' ἐγίνετό τι τοιοῦτον· Ἐπειδὴ Πελίαν ἀπέκτειναν αἱ θυγατέρες, καὶ [10]Ἄκαστος ὁ Πελίου ἐδίωκεν αὐτὰς, καὶ τὰς μὲν ἄλλας λαμβάνει· Ἄλκηστις δὲ καταφεύγει εἰς Φερὰς πρὸς Ἄδμητον, τὸν ἀνεψιὸν αὐτῆς. [11]καὶ καθεζομένου ὅπου τῆς ἑστίας, ἐκ ἐβούλετο Ἄδμητος Ἀκάστῳ ἔκδοτον ἐξαιτουμένῳ δοῦναι. ὁ δὲ πολλῷ στρατιᾷ [12]παρακαθίσας ὅπου τὴν πόλιν, [13]ἐπυρπόλει αὐτούς. [14]ἐπεξιὼν δὲ ὁ Ἄδμητος, ἔχων καὶ λοχαγούς, νύκτωρ [15]συνελήφθη ζῶν. [16]ἠπείλει δὲ Ἄκαστος ἀποκτείναν αὐτόν. [17]πυθομένη δὲ ἡ Ἄλκηστις, ὅτι μέλλει ἀναιρεῖσθαι Ἄδμητος δι' αὐτὴν, ἐξελθοῦσα ἑαυτὴν παρέδωκε. τὸν μὲν οὖν Ἄδμητον ἀφίησιν ὁ Ἄκαστος, ἐκείνῃ δὲ συλλαμβάνει. ἔλεγον οὖν οἱ ἄνθρωποι· Ἀνδρεία γε Ἄλκηστις

Ἄλκησις ἐκοῦσα [1]ὑπεραπέθανεν Ἀδμήτου. τοιοῦτο μέντοι οὐκ ἐγένετο, ὡς ὁ μῦθος φησί. κατὰ γοῦν τοῦτον τὸν καιρὸν τοῦτον Ἡρακλῆς ἦκεν ἄγων ἔκ τινων τόπων τὰς Διομήδους ἵππους. τοῦτον ἐκεῖσε πορευόμενον [2]ἐξένισεν Ἀδμήτος. ὀδυρομένου δὲ Ἀδμήτου τὴν συμφορὰν τῆς Ἀλκήστιδος, ἀγανακτησάμενος Ἡρακλῆς, [3]ὀπτίδεται τῷ Ἄκαστῳ, καὶ τὴν στρατιὰν αὐτοῦ ἀφθείρει, καὶ τὰ μὲν [4]λάφυρα τῇ αὐτοῦ στρατιᾷ ἀνέμει, τὴν δὲ Ἄλκησιν τῷ Ἀδμήτῳ παραδίδωσιν. Ἔλεγον δὲ οἱ ἄνθρωποι, ὡς [5]ἐντυχὼν Ἡρακλῆς, ἐκ θανάτου [6]ἐρρύσατο τὴν Ἄλκησιν. τούτων δὲ γενομένων, ὁ μῦθος [7]προσανεπλάσθη.

IV.

IV.

Ex *LUCIANI* DIALOGIS.

[1]ΛΟΥΚΙΑΝΟΥ

ΔΙΑΛΟΓΟΙ ΝΕΚΡΩΝ.

ΔΙΑΛΟΓΟΣ α'.

ΚΝΗΜΩΝ, ΔΑΜΙΠΠΟΣ.

ΚΝ. [2]Τῦτο ἐκεῖνο τὸ τῆς παροιμίας, [3]Ὁ νεκρὸς τὸν λέοντα—ΔΑ. [4]Τί ἀγανακτεῖς, ὦ Κνήμων; ΚΝ. Πυνθάνη [5]ὅ, τι ἀγανακτῶ; κληρονόμον ἀκέσιος [6]καταλέλοιπα, [7]καταφρονηθεὶς ὁ ἄθλιος, [8]ὃς ἐβουλόμην ἂν μάλιστα [9]ἔχειν τἀμὰ, παραλιπών. ΔΑ. Πῶς τῦτ' ἐγένετο; ΚΝ. Ἑρμόλαον τὸν πάνυ πλούσιον, ἄτεκνον ὄντα, ἐθεράπευον [10]ὡς θανάτῳ· κἀκεῖνος ἐκ ἀηδῶς τὴν θεραπείαν [11]προσίετο. ἔδοξε δή μοι κ᾽ σοφὸν

σοφὸν τῦτ' εἶναι, [1]θέλῃς μαθήκας ἐς τὸ φανερὸν, ἐν αἷς ἐκείνῳ [2]καταλέλοιπα τἀμὰ πάντα, ὡς κἀκεῖνος [3]ζηλώσειε, καὶ [4]τὰ αὐτὰ πράξειε. ΔΑ. Τί δὲ ἦν δὴ [5]ἐκεῖνος; ΚΝ. Ὅ, τι μὲν ἦν αὐτὸς [6]ἐνέγραψε ταῖς ἑαυτῦ μαθήκαις, οὐκ [7]οἶδα· ἐγὼ γῦν ἄφνω [8]ἀπέθανον, καὶ τέγες [9]μοι ὀπτεσόντος· καὶ νῦν Ἑρμόλαος ἔχει τἀμὰ, ὥσπέρ τις λάβραξ, καὶ τὸ ἄγκιστρον [10]τῷ δελέατι συγκατασπάσας. ΔΑ. [11]Οὐ μόνον, ἀλλὰ καὶ [12]αὐτόν σε τὸν ἁλιέα· ὥστε σόφισμα καλὰ σαυτῦ [13]συνέθεκας. ΚΝ. [14]Ἔοικα· οἰμώζω τοιγαρῦν.

ΔΙΑΛΟΓΟΣ β'.

ΜΕΝΙΠΠΟΣ καὶ ΕΡΜΗΣ.

ΜΕ. [15]Πῦ ἦ οἱ καλοί εἰσιν, ἢ αἱ καλαὶ, ὦ Ἑρμῆ; [16]ξενάγησόν με νέηλυν ὄντα· ΕΡ. [17]Οὐ σχολὴ μοὶ ὦ [18]Μένιππε. [19]πλὴν, κατ' ἐκεῖνο αὐτὸ, ἀπόβλεψον, [20]ὡς ὅτι τὰ δεξιὰ, ἔνθα [21]Ὑάκινθός τέ ἐσι, καὶ [22]ὁ Νάρκισσος, καὶ [23]Νιρεὺς, καὶ [24]Ἀχιλλεὺς, καὶ [25]Τυρὼ, καὶ [26]Ἑλένη, καὶ [27]Λήδα, καὶ ὅλως, τὰ ἀρχαῖα [28]κάλλη πάντα. ΜΕ. Ὀσᾶ μόνον ὁρῶ, καὶ κρανία τῶν σαρκῶν γυμνὰ, ὅμοια τὰ πολλά. ΕΡ. Καὶ μὴν [29]ἐκεῖνά ἐσιν, ἃ πάντες οἱ ποιηταὶ θαυμάζεσι, τὰ ὀσᾶ, ὧν σὺ [30]ἔοικας καταφρονεῖν. ΜΕ. Ὅμως τὴν Ἑλένιω μοι [31]δεῖξον· ἐ γὰ ἂν [1]διαγνοίην

[2]διαγνοίην ἔγωγε. ΕΡ. [2]Τετὶ τὸ κρανίον ἡ Ἑλένη ἐσίν. ΜΕ. Εἶτα αἱ χίλιαι [3]νῆες διὰ τᾶτο [4]ἐπληρώθησαν ἐξ ἁπάσης τ᾽ Ἑλλάδος, καὶ τοσᾶτοι [5]ἔπεσον Ἕλληνές τε καὶ βάρβαροι, καὶ τοσαῦται πόλεις ἀνάστατοι [6]γεγόνασιν; ΕΡ. Ἀλλ᾽ ἐκ οἶδες, ὦ Μένιππε, [7]ζῶσαν τὴν γυναῖκα· [8]ἔφης γὸ ἂν καὶ σὺ ἀνεμέσητον εἶναι,—

[9]Τοιῆδ᾽ ἀμφὶ γυναῖκι πολὺν χρόνον ἄλγεα πάσχειν·

ἐπεὶ καὶ τὰ ἄνθη, ξηρὰ ὄντα, εἴ τις βλέποι [10]ἀποβεβληκότα τὴν βαφὴν, ἄμορφα δηλονότι αὐτῷ [11]δόξει. ὅτε μέντοι ἀνθεῖ, καὶ ἔχει τὴν χροιὰν, κάλλιστά ἐσιν. ΜΕ. Οὐκοῦν τᾶτο, ὦ Ἑρμῆ, θαυμάζω, [12]εἰ μὴ συνίεσαν οἱ Ἀχαιοὶ περὶ πράγματος ἔτως ὀλιγοχρονίε, καὶ ῥᾳδίως ἀπανθᾶντος πονᾶντες. ΕΡ. Οὐ σχολή μοι, ὦ Μένιππε, [13]συμφιλοσοφεῖν σοι· ὥστε [14]ὁπλεξάμενος τόπον, ἔνθα ἂν ἐθέλῃς, κεῖσο καταβαλὼν σεαυτόν· ἐγὼ γὰρ τὰς ἄλλας νεκρὰς ἤδη [15]μετελεύσομαι.

ΔΙΑΛΟΓΟΣ γ'.

ΧΑΡΩΝ, ΜΕΝΙΠΠΟΣ, ΕΡΜΗΣ.

ΧΑ. [16]Ἀπόδος, ὦ καλάραλε, τὰ πορθμία. ΜΕ. Βόα, εἰ τᾶτο σοι [17]ἥδιον, ὦ Χάρων. ΧΑ. Ἀπόδος, φημὶ, [18]ἀνθ᾽ ὧν σε διεπορθμευσάμην. ΜΕ. Οὐκ ἂν [1]λάβοις

[1]λάβοις παρὰ τȣ̃ μὴ ἔχοντος. ΧΑ. Ἔςι δέ τις ὀβολὸν μὴ ἔχων; ΜΕ. Εἰ μὲν ϗ ἄλλός [2]τις, ȣ̓κ οἶδα· ἐγὼ ϑ̓ ȣ̓κ [3]ἔχω. ΧΑ. Καὶ μὴν ἄγξω σε [4]νὴ τὸν Πλȣ́τωνα, ὦ μιαρὲ, ἢν μὴ [5]ἀποδῷς. ΜΕ. [6]Κἀγὼ τῷ ξύλῳ σȣ πατάξας διαλύσω τὸ κρανίον. ΧΑ. Μάτην ȣ̃ν ἔσῃ [7]πεπλευκὼς τοσȣ̃τον πλȣ̃ν; ΜΕ. Ὁ Ἑρμῆς ὑπὲρ ἐμȣ̃ σοι [8]ἀποδότω, ὅς με παρέδωκέ σοι. ἘΡ. [9]Νὴ Δία ὀναίμην, [10]εἰ μέλλω γε ϗ ὑπερεκτίνειν τῶν νεκρῶν. ΧΑ. [11]Οὐκ ἀποςήσομαί σȣ. ΜΕ. Τȣ́το γε ἕνεκα νεωλκήσας τὸ πορθμεῖον, παράμενε· πλὴν ἀλλ' [12]ὅ γε μὴ ἔχω, πῶς ἂν λαβοις; ΧΑ. Σὺ δ' ȣ̓κ [13]ᾔδεις ὡς κομίζειν [14]δέον; ΜΕ. Ἤδειν μὲν. ȣ̓κ εἶχον δέ· τί ȣ̃ν, [15]ἐχρῆν διὰ τȣ̃το μὴ [16]ἀποθανεῖν; ΧΑ. Μόνος ȣ̃ν αὐχήσεις προῖκα [17]πεπλευκέναι; ΜΕ. Οὐ προῖκα, ὦ βέλτιςε. ϗ γὰρ [18]ἤντλησα, ϗ [19]τῆς κώπης ἐπελαβόμην, ϗ ȣ̓κ ἔκλαιον μόνος τῶν ἄλλων ἐπιβατῶν. ΧΑ. Οὐδὲν [20]ταῦτα πρὸς τὰ πορθμία· τὸν ὀβολὸν ἀποδȣ̃ναί σε δεῖ· ȣ̓ γὰρ [21]θέμις ἄλλως γενέσθαι· ΜΕ. Οὐκȣ̃ν ἀπάγαγέ με αὖθις ἐς τὸν βίον. ΧΑ. Χαρίεν λέγεις, ἵνα ϗ πληγὰς ἐπὶ τȣ́τῳ παρὰ τȣ̃ Αἰακȣ̃ [22]προσλάβω. ΜΕ. Μὴ ἐνόχλει ȣ̃ν. ΧΑ. [23]Δεῖξον τί ἐν τῇ πήρᾳ ἔχεις. ΜΕ. [24]Θέρμȣς, εἰ θέλεις, ϗ τῆς [25]Ἑκατης τὸ δεῖπνον. ΧΑ. Πόθεν τȣ̃τον ἡμῖν, ὦ Ἑρμῆ, τὸν κύνα [26]ἤγαγες; οἷα ϑ̓ ϗ ἐλάλει παρὰ τὸν πλȣ̃ν, [27]τῶν ἐπιβατῶν τῶν

ἁπάντων

ἁπάντων καταγελῶν, καὶ ἐπισκώπτων, καὶ μόνος ᾄδων, οἰμωζόντων ἐκείνων; ΈΡ. Ἀγνοεῖς, ὦ Χάρων, ὁποῖον ἄνδρα [1]διεπόρθμευσας; ἐλεύθερον ἀκριβῶς, [2]κοὐδενὸς αὐτῷ μέλει· οὗτός ἐστιν ὁ Μένιππος. ΧΑ. Καὶ μὴν [3]ἄν σε λάβω ποτέ. ΜΕ. Ἂν λάβῃς ὦ βέλτιστε· δὶς δὴ οὐκ ἂν λάβοις.

ΔΙΑΛΟΓΟΣ δ'.

ΚΡΟΙΣΟΣ, ΠΛΟΥΤΩΝ, ΜΕΝΙΠΠΟΣ, ΜΙΔΑΣ, ΣΑΡΔΑΝΑΠΑΛΟΣ.

ΚΡ. [4]Οὐ φέρομεν, ὦ Πλούτων, Μένιππον [5]τουτονὶ τὸν κύνα [6]παροικοῦντα· ὥστε ἢ ἐκεῖνόν ποι κατάστησον, ἢ ἡμεῖς μετοικήσομεν εἰς ἕτερον τόπον. ΠΛΟΥ. Τί δ' ὑμᾶς δεινὸν ἐργάζεται, ὁμόνεκρος ὤν; ΚΡΟΙ. Ἐπειδὰν ἡμεῖς οἰμώζομεν, καὶ στένομεν, ἐκείνων μεμνημένοι [7]τῶν ἄνω, [8]Μίδας μὲν [9]οὑτοσὶ, τοῦ χρυσίου, [10]Σαρδανάπαλος δὴ, τῆς πολλῆς τρυφῆς, [11]ἐγὼ δὴ, τῶν θησαυρῶν, ἐπιγελᾷ, καὶ ἐξονειδίζει, ἀνδράποδα καὶ καθάρματα ἡμᾶς ἀποκαλῶν· ἐνίοτε δὴ καὶ ᾄδων, ἐπιταράττει ἡμῶν τὰς οἰμωγάς· καὶ ὅλως, λυπηρός ἐστι. ΠΛΟΥ. [12]Τί ταῦτα φασὶν, ὦ Μένιππε; ΜΕΝ. Ἀληθῆ, ὦ Πλούτων· μίσω γὰρ αὐτοὺς ἀγχυνεῖς, καὶ ὀλεθρίους ὄντας, οἷς [13]οὐκ ἀπέχρησε [14]βιῶναι κακῶς, ἀλλὰ καὶ ἀποθανόντες ἔτι [15]μέμνηνται,

καὶ [1]περιέχονται τῶν ἄνω. [2]χαίρω τοιγαροῦν ἀνιῶν αὐτούς. ΠΛΟΥ. Ἀλλ' οὐ χρή· [3]λυποῦνται γὰρ οὐ μικρῶν στερούμενοι. ΜΕΝ. Καὶ σὺ μωραίνεις, ὦ Πλούτων, ὁμόψηφος ὢν τοῖς τούτων στεναγμοῖς; ΠΛΟΥ. Οὐδαμῶς· ἀλλ' οὐκ ἂν ἐθελήσαιμι στασιάζειν ὑμᾶς. ΜΕΝ. Καὶ μὴν, ὦ κάκιστοι Λυδῶν, καὶ Φρυγῶν, καὶ Ἀσσυρίων, οὕτω γινώσκετε, [4]ὡς οὐδὲ παυσομένου μου· ἔνθα γὰρ ἂν [5]ἴητε, ἀκολουθήσω, ἀνιῶν, καὶ κατάδων, καὶ καταγελῶν. ΚΡ. [6]Ταῦτα οὐχ ὕβρις; ΜΕΝ. Οὔκ· ἀλλ' ἐκεῖνα ὕβρις ἦν, ἃ ὑμεῖς ἐποιεῖτε, προσκυνεῖσθαι ἀξιοῦντες, καὶ ἐλευθέροις ἀνδράσιν [7]ἐντρυφῶντες, καὶ τοῦ θανάτου τοπαράπαν οὐ μνημονεύοντες· τοιγαροῦν οἰμώζετε, πάντων ἐκείνων [8]ἀφῃρημένοι. ΚΡΟΙ. [9]Πολλῶν γε, ὦ θεοὶ, καὶ μεγάλων κτημάτων. ΜΙΔ. Ὅσου μὲν ἐγὼ χρυσοῦ. ΣΑΡ. Ὅσης δ' ἐγὼ τρυφῆς. ΜΕΝ. Εὖγε, οὕτω ποιεῖτε· ὀδύρεσθε μὲν ὑμεῖς· ἐγὼ δὲ, [10]τὸ γνῶθι σαυτὸν πολλάκις συνείρων, [11]ἐπάσομαι ὑμῖν· [12]πρέποι γὰρ ἂν ταῖς τοιαύταις οἰμωγαῖς ἐπᾳδόμενον.

ΔΙΑΛΟΓΟΣ ε'.

ΖΗΝΟΦΑΝΤΗΣ, ΚΑΛΛΙΔΗΜΙΔΗΣ.

ΖΗ. Σὺ δὲ, ὦ Καλλιδημίδη, πῶς ἀπέθανες; [13]ἐγὼ μὲν γὰρ, ὅτι παράσιτος ὢν Δεινίου, πλέον τοῦ ἱκανοῦ ἐμφαγὼν,

ἐμφαγὼν, ἀπεπνίγην, οἶσθα. παρῆς γὰρ ἀποθνήσκοντί μοι. ΚΑΛ. Παρῆν, ὦ Ζηνόφαντες· [1]τὸ δ' ἐμὸν παράδοξόν τι ἐγένετο· [2]οἶσθα γὰρ καὶ σύ που Πτοιόδωρον τὸν γέροντα· ΖΗ. [3]Τὸν ἄτεκνον, τὸν πλούσιον, [4]ᾧ σε τὰ πολλὰ ᾔδειν συνόντα; ΚΑΛ. Ἐκεῖνον αὐτὸν ἀεὶ ἐθεράπευον, [5]ὑπισχνούμενος ἐπ' ἐμοὶ τεθνήξεσθαι. ἐπεὶ δὲ [6]τὸ πρᾶγμα ἐς μήκιστον ἐπεγίνετο, καὶ [7]ὑπὲρ τὸν Τιθωνὸν ὁ γέρων ἔζη, ἐπίτομόν τινα ὁδὸν ἐπὶ τὴν κλῆρον [8]ἐξεῦρον· πριάμενος γάρ φάρμακον, [9]ἀνέπεισα τὸν οἰνοχόον, [10]ἐπειδὰν τάχιστα ὁ Πτοιόδωρος αἰτήσῃ πιεῖν, [11]πίνει δ' ἐπεικῶς, [12]ζωρότερον ἐμβαλόντα ἐς κύλικα, ἕτοιμον ἔχειν αὐτὸ, καὶ ἐπιδοῦναι αὐτῷ· εἰ δὲ τοῦτο ποιήσει, ἐλεύθερον [13]ἐπωμοσάμην ἀφήσειν αὐτόν. ΖΗ. Τί οὖν ἐγένετο; πάνυ γάρ τι παράδοξον ἐρεῖν ἔοικας. ΚΑΛ. Ἐπεὶ τοίνυν λουσάμενοι ἥκομεν, δύο ἤδη ὁ μειρακίσκος κύλικας ἑτοίμους ἔχων, [14]τὴν μὲν τῷ Πτοιοδώρῳ τὴν ἔχουσαν τὸ φάρμακον, τὴν δ' ἑτέραν ἐμοὶ, [15]σφαλεὶς οὐκ οἶδ' ὅπως, ἐμοὶ μὲν τὸ φάρμακον, Πτοιοδώρῳ δὲ τὸ ἀφάρμακτον ἐπέδωκεν· εἶτα ὁ μὲν ἔπινεν· ἐγὼ δὲ αὐτίκα [16]μάλα ἐκτάδην ἐκείμην ὑποβολιμαῖος ἀντ' ἐκείνου νεκρὸς· [17]τί τοῦτο; γελᾷς, ὦ Ζηνόφαντες; καὶ μὴν οὐκ ἔδει γε ἑταίρῳ ἀνδρὶ ἐπιγελᾷν. ΖΗ. [18]Ἀστεῖα γὰρ, ὦ Καλλιδημίδη, πέπονθας. ὁ γέρων δὲ, [19]τί πρὸς ταῦτα; ΚΑΛ. Πρῶτον μὲν [20]ὑπεταράχθη πρὸς τὸ αἰφνίδιον. εἶτα [21]συνεὶς,

οἶμαι,

οἶμαι, τὸ γεγλυμμένον, [1]ἐγέλα κὴ αὐτὸς οἷά γε ὁ οἰνοχόος ἔρασαι. ΖΗ. [2]Πλὴν ἀλλ' ἐδὲ σὲ τὴν ἐπίτομον ἐχρῆν τραπέσθαι. [3]ἦκε γὰρ ἄν σοι [4]διὰ τῆς λεωφόρου ἀσφαλέστερον, εἰ κὴ ὀλίγῳ βραδύτερος ἦν.

ΔΙΑΛΟΓΟΣ ε'.

ΠΛΟΥΤΩΝ, ΠΡΩΤΕΣΙΛΑΟΣ, ΠΕΡΣΕΦΟΝΗ.

ΠΡΩ. [5]Ὦ δέσποτα, κὴ βασιλεῦ, κὴ ἡμέτερε Ζεῦ, κὴ σὺ, Δήμητερος θύγατερ, [5]μὴ ὑπερίδητε δέησιν ἐρωτικήν. ΠΛΟΥ. Σὺ δὴ τίνος δέῃ παρ' ἡμῶν; [6]ἢ τίς ὢν τυγχάνεις; ΠΡΩ. Εἰμὶ μὲν Πρωτεσίλαος [7]ὁ Ἰφίκλε, Φυλάκιος, συγγραφεὺς τῶν Ἀχαιῶν, κὴ πρῶτος ἀποθανὼν [8]τῶν ἐπ' Ἰλίῳ· δέομαι δὴ, [9]ἀφεθεὶς πρὸς ὀλίγον, [10]ἀναβιῶναι πάλιν. ΠΛΟΥ. Τοῦτον μὲν τὸν ἔρωτα, ὦ Πρωτεσίλαε, πάντες νεκροὶ ἐρῶσι· πλὴν ἐδεὶς ἂν αὐτῶν [11]τύχῃ. ΠΡΩ. Ἀλλ' [12]ἐπὶ ταύτῃ ζῆν, Ἀϊδωνεῦ, ἐρῶ ἔγωγε, τῆς γυναικὸς ἦν, ἣν νεόγαμον ἔτι ἐν τῷ θαλάμῳ καταλιπὼν, [13]ὠχόμην ἀποπλέων· εἶτα ὁ κακοδαίμων ἐν τῇ ἀποβάσει ἀπέθανον ὑπὸ τοῦ Ἕκτορος· ὁ δὲ ἔρως τῆς γυναικὸς ἐμέτριος ἀποκναίει με, ὦ δέσποτα· κὴ βέλομαι, [14]κἂν πρὸς ὀλιγον ὀφθεὶς αὐτῇ, καταβῆναι πάλιν· ΠΛΟΥ. Οὐκ ἔπιες, ὦ Πρωτεσίλαε, τὸ Λήθης ὕδωρ; ΠΡΩ. [15]Καὶ μάλα, ὦ δέσποτα·

δέσποτα· τὸ δὲ πρᾶγμα ὑπέρογκον ἦν. ΠΛΟΥ. Οὐκοῦν περίμενον· ἀφίξεται γὰρ ἐκείνη ποτὲ, καὶ οὐδέν σε ἀνελθεῖν δεήσει. ΠΡΩ. Ἀλλ' οὐ φέρω τὴν διατριβὴν, ὦ Πλούτων· [1]ἠράσθης δὲ καὶ αὐτὸς ἤδη, καὶ [2]οἶσθα οἷον τὸ ἐρᾶν ἐστιν. ΠΛΟΥ. Εἶτα τί σε ὀνήσει μίαν ἡμέραν ἀναβιῶναι, μετ' ὀλίγον τὰ αὐτὰ ὀδυρούμενον; ΠΡΩ. [3]Οἶμαι πείσειν κἀκείνην ἀκολουθεῖν παρ' ὑμᾶς· ὥστε ἀνθ' ἑνὸς, δύο νεκροὺς [4]λήψῃ μετ' ὀλίγον. ΠΛΟΥ. Οὐ θέμις γενέσθαι ταῦτα, [5]οὐδὲ ἐγένετο πώποτε. ΠΡΩ. Ἀναμνήσω σε, ὦ Πλούτων· Ὀρφεῖ γὰρ, [6]δι' αὐτὴν ταύτην τὴν αἰτίαν, τὴν Εὐρυδίκην παρέδοτε, καὶ τὴν [7]ὁμογενῆ μοῦ Ἄλκηστιν παρεπέμψατε Ἡρακλεῖ χαριζόμενοι. ΠΛΟΥ. Θελήσεις δὲ, οὕτω κρανίον γυμνὸν ὢν, καὶ ἄμορφον, τῇ καλῇ σου ἐκείνῃ νύμφῃ [8]φανῆναι; πῶς δὲ κἀκείνη [9]προσόψεταί σε, οὐδὲ [10]διαγνῶναι δυναμένη; [11]φοβήσεται γὰρ, εὖ οἶδα, καὶ [12]φεύξεταί σε· καὶ μάτην [13]ἔσῃ τοσαύτην ὁδὸν ἀνεληλυθώς. ΠΕΡ. Οὐκοῦν, ὦ ἄνερ, σὺ καὶ τοῦτ' [14]ἴασαι, καὶ τὸν Ἑρμῆν κέλευσον, ἐπειδὰν ἐν τῷ φωτὶ ἤδη ὁ Πρωτεσίλαος ᾖ, [15]καθικόμενον ἐν τῇ ῥάβδῳ, νεανίαν εὐθὺς καλὸν [16]ἀπεργάσασθαι αὐτὸν, οἷος ἦν ἐκ τοῦ παστοῦ. ΠΛΟΥ. Ἐπεὶ Περσεφόνῃ συνδοκεῖ, ἀναγαγὼν τοῦτον αὖθις, ποίησον νυμφίον· σὺ δὲ [17]μέμνησο μίαν λαβὼν ἡμέραν.

ΔΙΑ-

ΔΙΑΛΟΓΟΣ ζ'.

ΜΕΝΙΠΠΟΣ καὶ ΤΑΝΤΑΛΟΣ.

ΜΕ. [1]Τί κλάεις, ὦ Τάνταλε; ἢ τί σεαυτὸν ὀδύρῃ, [2]ἐπὶ τῇ λίμνῃ ἑστώς; ΤΑΝ. Ὅτι, ὦ Μένιππε, [3]ἀπόλωλα ὑπὸ τοῦ δίψους. ΜΕ. Οὕτως ἀργὸς εἶ, ὡς μὴ ἐπικύψας πιεῖν, [4]ἢ καὶ νὴ Δί' ἀρυσάμενος κοίλῃ τῇ χειρί; ΤΑΝ. [5]Οὐδὲν ὄφελος, εἰ ἐπικύψαιμι· φεύγει γὰρ τὸ ὕδωρ, ἐπειδὰν προσιόντα [6]αἴσθηταί με· ἢν δέ ποτε καὶ ἀρύσωμαι, καὶ [7]προσενέγκω τῷ στόματι, [8]οὐ φθάνω βρέξας ἄκρον τὸ χεῖλος, καὶ διὰ τῶν δακτύλων διαῤῥυὲν, οὐκ οἶδ' ὅπως αὖθις ἀπολείπει ξηρὰν τὴν χεῖρά μου. ΜΕ. Τεράστιόν τι πάσχεις, ὦ Τάνταλε· ἀτὰρ εἰπέ μοι, [9]τί γὰρ καὶ δέῃ τοῦ πιεῖν; οὐ γὰρ σῶμα ἔχεις· ἀλλ' ἐκεῖνο μὲν ἐν Λυδίᾳ που τέθαπται, ὅπερ καὶ [10]πεινῆν, καὶ διψῆν ἐδύνατο· σὺ δὲ ἡ ψυχὴ, πῶς ἂν ἔτι ἢ [11]διψῴης, ἢ πίνοις; ΤΑΝ. [12]Τοῦτ' αὐτὸ ἡ κόλασίς ἐστι, τὸ διψῆν μου τὴν ψυχὴν ὡς σῶμα οὖσαν. ΜΕ. Ἀλλὰ τοῦτο μὲν οὕτω πιστεύσομεν, ἐπεὶ [13]φῂς τῷ δίψει κολάζεσθαι· τί δ' οὖν σοι τὸ δεινὸν [14]ἔσται; [15]ἢ δέδιας μὴ ἐνδείᾳ τοῦ ποτοῦ ἀποθάνης; οὐχ ὁρῶ γὰρ ἄλλον μετὰ τοῦτον ᾅδην, [16]ἢ θάνατον ἐντεῦθεν εἰς ἕτερον τόπον. ΤΑΝ. Ὀρθῶς μὲν λέγεις· καὶ τοῦτο δ' οὖν μέρος τῆς καταδίκης, [17]τὸ ἐπιθυμεῖν πιεῖν, μηδὲν δεόμενον. ΜΕ. Ληρεῖς, ὦ Τάνταλε,

καὶ

καὶ [1]ὡς ἀληθῶς ποτε δεῖσθαι δοκεῖς, ἀκράτε γε ἐλλεβόρε νὴ Δία, [2]ὅσις τουναντίον τοῖς ὑπὸ τῶν λυττώντων κυνῶν δεδηγμένοις πέπονθας, ὁ τὸ ὕδωρ, ἀλλὰ τὴν δίψαν πεφοβημένος. ΤΑΝ. Οὐδὲ τὸν ἐλλέβορον, ὦ Μένιππε, ἀναίνομαι πιεῖν· [3]χρήσιμόν μοι μόνον. ΜΕ. [4]Θάρρει, ὦ Τάνταλε, ὡς ἔστε σὺ, ἔστε ἄλλος [5]πίεται τῶν νεκρῶν· ἀδύνατον γάρ· [6]καίτοι οἱ πάντες ὥσπερ σὺ οὐ καταδίκης διψῶσι, καὶ ὕδατος αὐτοὺς οὐ κωλύοντος.

ΔΙΑΛΟΓΟΣ ιε'.

ΑΙΑΚΟΣ, ΠΡΩΤΕΣΙΛΑΟΣ, ΜΕΝΕΛΑΟΣ, ΠΑΡΙΣ.

ΑΙ. [7]Τί ἄχεις, ὦ Πρωτεσίλαε, τὴν Ἑλένην προσπέσων; ΠΡΩ. Ὅτι διὰ ταύτην, ὦ Αἰακὲ, ἀπέθανον, [8]ἡμιτελῆ μὲν τὸν δόμον καταλιπών, χήραν τε τὴν νεόγαμον γυναῖκα. ΑΙ. [9]Αἰτιῶ τοίνυν τὸν Μενέλαον, ὅστις ὑμᾶς ὑπὲρ τοιαύτης γυναικὸς ὅπλα Τροίαν ἤγαγεν. ΠΡΩ. Εὖ λέγεις· ἐκεῖνόν μοι [10]αἰτιατέον. ΜΕΝ. [11]Οὐκ ἐμὲ, ὦ βέλτιστε, ἀλλὰ δικαιότερον τὸν Πάριν, ὃς ἐμοῦ ξένου τὴν γυναῖκα παρὰ πάντα τὰ δίκαια [12]ᾤχετο ἁρπάσας· οὗτος γὰρ οὐχ ὑπὸ σοῦ μόνου, ἀλλ' ὑπὸ πάντων Ἑλλήνων τε καὶ βαρβάρων ἄξιος ἄχεσθαι, τοσούτοις θανάτοις αἴτιος γεγενημένος. ΠΡΩ. [13]Ἄμεινον ἔτω· σὲ τοιγαροῦν,

γαρȣ̃ν, ὦ [1]δύσπαρι, ȣ̓κ ἀφήσω ποτε [2]ἀπὸ τῶν χειρῶν. ΠΑ. [3]Ἄδικα ποιῶν, ὦ Πρωτεσίλαε, [4]καὶ ταῦτα, ὁμότεχνον ὄντα σοι, ἐρωτικὸς γὰρ καὶ αὐτός εἰμι, [5]καὶ τῷ αὐτῷ θεῷ κατέσχημαι· [6]οἶσθα δὲ ὡς ἀκȣ́σιόν τί ἐστι, καί τις ἡμᾶς δαίμων ἄγει, ἔνθα ἂν ἐθέλῃ· καὶ ἀδύνατόν ἐστιν ἀντιτάττεσθαι αὐτῷ. ΠΡΩ. Εὖ λέγεις· εἴθε ȣ̃ν μοι τὸν Ἔρωτα ἐνταῦθα λαβεῖν δυνατὸν ἦν. ΑΙ. Ἐγώ σοι καὶ περὶ τȣ̃ Ἔρωτος ἀποκρινȣ̃μαι τὰ δίκαια· [7]φήσει γὰρ αὐτὸς μὲν τȣ̃ ἐρᾷν τῷ Πάριδι ἴσως γεγενῆσθαι αἴτιος· τȣ̃ θανάτȣ δὲ σοι ȣ̓δένα ἄλλον, ὦ Πρωτεσίλαε, ἢ σεαυτόν, ὃς [8]ἐκλαθόμενος τῆς νεογάμȣ γυναικὸς, ἐπεὶ προσεφέρεσθε τῇ Τρῳάδι, ȣ̓́τω φιλοκινδύνως καὶ ἀπονενοημένως [9]προεπήδησας τῶν ἄλλων, [10]δόξης ἐρασθεὶς, δι' ἣν πρῶτος ἐν τῇ ἀποβάσει ἀπέθανες. ΠΡΩ. Οὐκȣ̃ν καὶ ὑπὲρ ἐμαυτȣ̃ σοι, ὦ Αἰακὲ, ἀποκρινȣ̃μαι δικαιότερα; ȣ̓ γὰρ ἐγὼ τȣ́των αἴτιος, ἀλλ' ἡ μοῖρα, [11]καὶ τὸ ἐξ ἀρχῆς ȣ̓́τως ἐπικεκλῶσθαι. ΑΙ. Ὀρθῶς. τί ȣ̃ν τȣ́τȣς αἰτιᾷ;

ΔΙΑΛΟΓΟΣ θ'.

ΔΙΟΓΕΝΗΣ καὶ ΑΛΕΞΑΝΔΡΟΣ.

ΛΙΟ. [12]Τί τȣ̃το, ὦ Ἀλέξανδρε, καὶ σὺ τέθνηκας, ὥσπερ καὶ ἡμεῖς ἅπαντες; ΑΛΕ. Ὁρᾷς, ὦ Διόγενες·

ȣ̓

ε παράδοξον ἦ, εἰ ἄνθρωπος ὢν, ἀπέθανον. ΔΙΟ. Οὐκοῦν ὁ [11]Ἄμμων [12]ἐψεύδετο, λέγων σεαυτὸν εἶναι υἱόν· σὺ ἦ Φιλίππε ἆρα [13]ἦσθα; ΑΛΕ. Φιλίππε δηλαδή· ὁ γὰρ ἂν ἐτεθνήκειν [14]Ἄμμωνος ὤν. ΔΙΟ. Καὶ μὴν καὶ τὴν Ὀλυμπιάδος [15]ὅμοια ἐλέγοντο, δράκοντα ὁμιλεῖν αὐτῇ, καὶ βλέπεσθαι ἐν τῇ εὐνῇ· εἶτα ἔτω σε [16]τεχθῆναι. τὸν ἦ Φίλιππον [17]ἐξηπατῆσθαι οἰόμενον πατέρα σε εἶναι. ΑΛΕ. Κἀγω ταῦτα ἤκουον, ὥσπερ σύ· νῦν ἦ ὁρῶ ὅτι ὐδὲν ὑγιὲς ἔτε ἡ μήτηρ, ἔτε οἱ τῶν Ἀμμωνίων προφῆται ἔλεγον. ΔΙΟ. Ἀλλὰ τὸ ψεῦδος αὐτῶν ἐκ ἄχρηστόν σοι, ὦ Ἀλέξανδρε, πρὸς τὰ πράγματα ἐγένετο· πολλοὶ γὰρ ὑπέπτησσον, θεὸν εἶναι σε νομίζοντες· ἀτὰρ εἰπέ μοι, τίνι τῶν τοσαύτην ἀρχὴν καταλέλοιπας; ΑΛΕ. Οὐκ οἶδα, ὦ Διόγενες· [18]ὁ γὰρ ἔφθασα ὀπισκῆψαί τι περὶ αὐτῆς, ἢ τοῦτο μόνον, ὅτι ἀποθνήσκων, Περδίκκᾳ τὸν δακτύλιον ἐπέδωκα· [19]πλὴν ἀλλὰ τί γελᾶς, ὦ Διόγυες; ΔΙΟ. [20]Τί γὰρ ἄλλο, ἢ ἀνεμνήσθην, [21]οἷα ἐποίει ἡ Ἑλλὰς, ἄρτι σε [22]παρειληφότα τὴν ἀρχὴν, κολακεύοντες, καὶ προσάτην αἱρούμενοι, καὶ στρατηγὸν, ὅπου τοὺς βαρβάρους· ἔνιοι ἦ καὶ τοῖς δώδεκα θεοῖς προσιθέντες, [23]καὶ νεὼς οἰκοδομούμενοι, καὶ θύοντες ὡς δράκοντος υἱῷ; ἀλλ' εἰπέ μοι, ποῦ σε οἱ Μακεδόνες ἔθαψαν; ΑΛΕ. Ἔτι ἐν Βαβυλῶνι κεῖμαι, τρίτην ταύτην ἡμέραν· ὑπισχνεῖται δὲ Πτολεμαῖος ὁ ὑπασπιστὴς, [24]ἢν ποτε ἀγάγῃ

χολὴν ἀπὸ τῶν θορύβων τῶν ἐν ποσὶν, ἐς Αἴγυπτον ἀπαγαγών με θάψειν ἐκεῖ, ὡς ἡμιόμβῳ εἷς τῶν Αἰγυπτίων θεῶν. ΔΙΟ. Μὴ γελάσω, ὦ Ἀλέξανδρε, ὁρῶν ἐν ᾅδου ἔτι σε μωραίνοντα, καὶ ἐλπίζοντα, Ἄννουιν, ἢ Ὄσιριν ἡμέρᾳ; πλὴν ἀλλὰ ταῦτα μὲν, ὦ θειότατε, μὴ ἐλπίσῃς· ἐπεὶ γὰρ θέμις ἀνελθεῖν τινα τῶν ἅπαξ διαπλευσάντων τὴν λίμνην, καὶ [2]ἐς τὸν εἴσω ξόμβον παρελθόντων· ἐπεὶ γὰρ ἀμελὴς ὁ Αἰακός, ἐπὶ ὁ Κέρβερος εὐκαταφρόνητος. ἐκεῖνα ἢδέως ἂν μάθοιμι παρὰ σοῦ, πῶς φέρεις ὁπότ' ἂν ἐννοήσῃς [3]ὅσην εὐδαιμονίαν ὑπὲρ γῆς ἀπολιπὼν, ἀφῖξαι, σωματοφύλακας, καὶ ὑπασπιστὰς, καὶ σατράπας, καὶ χρυσὸν τοσοῦτον, καὶ ἔθνη προσκυνοῦντα, καὶ Βαβυλῶνα, καὶ Βάκτρα, καὶ [4]τὰ μεγάλα θηρία, καὶ τιμὴν, καὶ δόξαν, [5]καὶ τὸ ὀπίσημον εἶναι ἐλαύνοντα, διαδεδεμένον ταινίᾳ λευκῇ τὴν κεφαλὴν, πορφυρίδα ἐμπεπορπημένον· ἐπὶ λυπεῖ ταῦτά σε ὑπὸ τὴν μνήμην ἰόντα; τί δακρύεις, ὦ μάταιε; ἐπὶ ταῦτά σε ὁ σοφὸς Ἀριστοτέλης ἐπαίδευσε μὴ οἴεσθαι βέβαια εἶναι [6]τὰ παρὰ [7]τύχης; ΑΛΕ. Σοφὸς! ἁπάντων ἐκεῖνος κολάκων ὀπιριπλόταλος ὤν! [7]ἐμὲ μόνον ἔασον τὰ Ἀριστοτέλους εἰδέναι, ὅσα μοὶ ἤτησε παρ' ἐμοῦ, [8]οἷα ἢ ἐπέστελλεν. [9]ὡς δὲ κατεχρῆτό με τῇ σοφῇ παιδείαν φιλοτιμίᾳ θωπεύων καὶ ἐπαινῶν, ἄρτι μὲν ἐς τὸ κάλλος, [10]ὡς καὶ τοῦτο μέρος ὂν τἀγαθοῦ, ἄρτι δ' ἐς τὰς πράξεις, καὶ τὸν

πλοῦτον·

πλȣ̃τον· καὶ γὰρ αὖ καὶ τȣ̃τ' ἀγαθὸν ἡγεῖτ' εἶναι, [1]ὡς μὴ αἰσχύνοιτο καὶ αὐτὸς λαμβάνων· γόης, ὦ Διόγενες, ἄνθρωπος, καὶ τεχνίτης· [2]πλὴν ἀλλὰ τȣ̃τό γε [3]ἀπολέλαυκα αὐτȣ̃ τῆς σοφίας, [4]τὸ λυπεῖσθαι ὡς ἐπὶ μεγίστοις ἀγαθοῖς, ἃ [5]κατηριθμήσω μικρῷ γε ἔμπροσθεν. ΔΙΟ. Ἀλλ' [6]οἶσθα ὃ δράσεις; ἄκος γὰρ σοι τῆς λύπης [7]ὑποθήσομαι, ἐπεὶ ἐνταῦθά γε ἐλλέβορος ȣ̓ φύεται. [8]σὺ δὴ, κἂν τὸ Λήθης ὕδωρ χανδὸν ἐπισπασάμενος πίε, καὶ αὖθις πίε, καὶ πολλάκις· ȣ̓́τω γὰρ ἂν [9]παύσῃ ἐπὶ τοῖς Ἀριστοτέλȣς ἀγαθοῖς ἀνιώμενος· [10]καὶ γὰρ ἐς Κλεῖτον ἐκεῖνον ὁρῶ, καὶ Καλλισθένη, καὶ ἄλλȣς πολλȣ̀ς ἐπὶ σὲ ὁρμῶντας, ὡς διασπάσαιντο, καὶ ἀμύναιντό σε, [11]ὧν ἔδρασας αὐτȣ́ς· [12]ὥστε τὴν ἑτέρον σὺ ταύτην βάδιζε· καὶ πῖνε πολλάκις, ὡς ἔφην.

ΔΙΑΛΟΓΟΣ ι'.

ἘΡΜΗΣ, ΧΑΡΩΝ.

ἘΡ. [13]Λογισώμεθα, ὦ Πορθμεῦ, εἰ δοκεῖ, ὁπόσα μοι ὀφείλεις ἤδη, ὅπως μὴ αὖθις ἐρίζωμέν τι περὶ αὐτῶν. ΧΑ. Λογισώμεθα, ὦ Ἑρμῆ· [14]ἄμεινον γὰρ ὁρίσαι περὶ αὐτῶν, καὶ ἀπραγμονέστερον. ἘΡ. Ἄγκυραν [15]ἐντειλαμένῳ ἐκόμισα [16]πέντε δραχμῶν. ΧΑ. [17]Πολλȣ̃ λέγεις. ἘΡ. Νὴ τὸν Ἀϊδωνέα, τῶν πέντε ὠνησάμην, καὶ τροπωτῆρα δύο ὀβολῶν. ΧΑ. [18]Τίθει

πέντε

πέντε δραχμὰς, ⁊ ὀβολὸς δύο. ΕΡ. Καὶ ἀκέσραν [1]ὑπὲρ ⁊ ἰσίᾳ, πέντε ὀβολὸς ἐγὼ κατέβαλον. ΧΑ. Καὶ τέτᾳς προσίθει. ΕΡ. Καὶ κηρὸν [2]ὡς ὁππλάσαι ⁊ σκαφιδίᾳ τὰ ἀνεῳγότα, ⁊ ἥλᾳς ἓ, ⁊ καλῴδιον, ἀφ' ᾧ τὴν ὑπέραν ἐποίησας, [3]δύο δραχμῶν ἅπανλα. ΧΑ. Εὖγε, [4]ἄξια ταῦτα ὠνήσω. ΕΡ. Ταῦτά ἐσιν, εἰ μή τι ἄλλο ἡμᾶς [5]διέλαθεν ἐν τῷ λογισμῷ· πότε δ' ἂν ταῦτ' [6]ἀποδώσῃν φῄς; ΧΑ. Νῦν μὲν, ὦ Ἑρμῆ, ἀδύνατον· ἢν ἓ λοιμός τις ἢ πόλεμος καλαπέμψῃ ἀθρόᾳς τινὰς, [7]ἐνέσαι τότε ἀποκερδάναι ἐν τῷ πλήθ⁊ παραλογιζόμενον τὰ πορθμία. ΕΡ. Νῦν ἓν ἐγὼ [8]καθεδῆμαι τὰ κάκισα εὐχόμενος γενέσθ⁊, ὡς ἂν ὑπὸ τέτων ἀπολαύοιμι. ΧΑ. Οὐκ ἔσιν ἄλλως, ὦ Ἑρμῆ· νῦν δ' ὀλίγοι, ὡς ὁρᾷς, ἀφικνεῖν⁊ ἡμῖν· εἰρήνη γὰρ. ΕΡ. Ἀμέλον ἔτως, εἰ ⁊ ἡμῖν παρατείνοιτο ὑπὸ σῆ τὸ ὄφλημα· πλὴν ἀλλ' οἱ μὲν παλαιοὶ, ὦ Χάρων, οἶδα οἷοι παρεγίνοντο, ἀνδρεῖοι ἅπαντες, αἱμαλος [9]ἀνάπλεῳ, ⁊ τραυματίαι οἱ πολλοὶ· νῦν ἓ ἢ φαρμάκῳ τις ὑπὸ ⁊ παιδὸς ἀποθανὼν, ἢ ὑπὸ τ γυναικὸς, ἢ ὑπὸ τρυφῆς [10]ἐξωδηκὼς τὴν γασέρα, ⁊ τὰ σκέλη· ὠχροὶ γὰρ ἅπανλες, ⁊ ἀηδυνεῖς, ἀδὲ ὅμοιοι ἐκείνοις· οἱ ἓ πλεῖσοι αὐτῶν, διὰ χρήματα ἥκασιν, ὁπβελεύονλες ἀλλήλοις, [11]ὡς ἐοίκασι. ΧΑ. [12]Πάνυ γὰρ ⁊ιπόθηλά ἐσι ταῦτα. ΕΡ. Οὐκοῦν ἀδ' ἐγὼ δόξαιμι ἂν ἁμαρλάνῃν, πικρῶς ἀπαιλῶν τὰ ὀφλόμενα παρὰ σῆ.

[1]Λ Ο Υ-

Ἁ Ο Υ Κ Ι Α Ν Ο Υ

Μ Υ Θ Ω Δ Η.

ΔΙΑΛΟΓΟΣ α'.

Ζ Ε Υ Σ καὶ Ἑ Ρ Μ Η Σ.

Ζ. Τῶ δ' Ἰνάχε παῖδα τὴν καλὴν [2]οἶσθα, ὦ Ἑρμῆ; ΕΡ. Ναί· τὴν Ἰὼ λέγεις. Ζ. Οὐκ ἔτι παῖς ἐκείνη ἐστιν, ἀλλὰ δάμαλις. ΕΡ. Τεράστιον τοῦτο· [3]τῷ τρόπῳ δ' [4]ἐνηλλάγη; Ζ. Ζηλοτυπήσασα ἡ Ἥρα, [5]μετέβαλεν αὐτήν· ἀλλὰ καὶ καινὸν ἄλλό τι δεινὸν [6]ὑπεμεμηχάνητο τῇ κακοδαίμονι· βουκόλον τινὰ πολυόμματον, Ἄργον [7]τοὔνομα, ἐπέστησεν, ὃς νέμει τὴν δάμαλιν, ἄϋπνος ὤν. ΕΡ. Τί οὖν ἡμᾶς χρὴ ποιεῖν; Ζ. [8]Καταπλάμενος εἰς τὴν Νέμεαν, ἐκεῖ δέ [9]που ὁ Ἄργος βουκολεῖ, ἐκεῖνον μὲν ἀπόκτεινον· τὴν δὲ Ἰὼ διὰ τοῦ πελάγους εἰς τὴν Αἴγυπτον ἀπαγαγὼν, Ἶσιν ποίησον. καὶ [10]τὸ λοιπὸν ἔσω θεὸς [11]τοῖς ἐκεῖ· [12]καὶ τὸν Νεῖλον ἀναγέτω, καὶ τοὺς ἀνέμους ὑπεμπέτω, καὶ σῳζέτω τοὺς πλέοντας.

ΔΙΑ-

ΔΙΑΛΟΓΟΣ β'.

ΙΡΙΣ καὶ ΠΟΣΕΙΔΩΝ.

ΙΡ. [1]Τὴν νῆσον τὴν πλανωμένην, ὦ Πόσειδον, τὴν ἀποσπασθεῖσαν τῆς Σικελίας, ὕφαλον ἐπινήχεσθαι συμβέβηκε· ταύτην, φησὶν ὁ Ζεὺς, σῆσον ἤδη, καὶ ἀνάφηνον, καὶ ποίησον ἤδη [2]δῆλον ἐν τῷ Αἰγαίῳ μέσῳ βεβαίως μένειν, στηρίξας πάνυ ἀσφαλῶς· [3]δεῖται γάρ τι αὐτῆς. ΠΟ. [4]Πεπράξεται τοῦτο, ὦ [5]Ἶρι. τίνα δὲ ὁρμῶς παρέξει αὐτῷ τὴν χρείαν [6]ἀναφανεῖσα, καὶ μηκέτι πλέουσα; ΙΡ. Τὴν Λητὼ ἐπ' αὐτῆς δεῖ ἀποκυῆσαι. ἤδη γὰρ [7]πονηρῶς ὑπὸ τῶν ὠδίνων ἔχει. ΠΟ. Τί δ' ἔστιν; οὐχ ἱκανὸς ὁ οὐρανὸς [8]ἐντεκεῖν; εἰ δὲ μὴ ἔστος, ἀλλά γε πᾶσα ἡ γῆ οὐκ ἂν ὑποδέξασθαι δύναιτο τὰς αὐτῆς γονάς; ΙΡ. Οὐκ, ὦ Πόσειδον· ἡ Ἥρα γὰρ ὅρκῳ μεγάλῳ [9]κατέλαβε τὴν γῆν, μὴ παραχεῖν τῇ Λητοῖ τῶν ὠδίνων ὑποδοχήν· ἡ τοίνυν νῆσος αὐτὴ ἀνώμοτός ἐστιν· ἀφανὴς γὰρ ἦν. ΠΟ. Συνίημι· [10]στῆθι, ὦ νῆσε, καὶ ἀνάδυθι αὖθις ἐκ βυθοῦ, καὶ μηκέτι [11]ὑποφέρου, ἀλλὰ βεβαίως μένε, καὶ [12]ὑπόδεξαι, ὦ εὐδαιμονεστάτη, [13]τοὺς ἀδελφοὺς τὰ τέκνα δύο, τοὺς καλλίστους τῶν θεῶν· καὶ ὑμεῖς, ὦ Τρίτωνες, διαπορθμεύσατε τὴν Λητὼ ἐς αὐτήν· καὶ γαλήνια ἅπαντα ἔστω. τὸν δράκοντα δὲ, ὃς νῦν ἐξοιστρεῖ αὐτὴν φοβῶν, τὰ νεογνὰ, ἐπειδὰν [14]τεχθῇ, αὐτίκα [15]μέτεισι, καὶ

καὶ τιμωρήσει τῇ μητρί· σὺ δὲ ἀπάγγελλε τῷ Διὶ πάντα εἶναι εὐτρεπῆ· [1]ἕστηκεν ἡ Δῆλος· ἡκέτω ἡ Λητὼ καὶ τικτέτω.

ΔΙΑΛΟΓΟΣ γ'.

ΞΑΝΘΟΣ καὶ ΘΑΛΑΣΣΑ.

ΞΑΝ. [2]Δέξαι με, ὦ θάλασσα, δεινὰ [3]πεπονθότα· [4]κατάσβεσόν μου τὰ τραύματα. ΘΑ. Τί τοῦτο, ὦ [5]Ξάνθε; τίς σε [6]κατέκαυσεν; ΞΑΝ. Ἥφαιστος. ἀλλ' [7]ἀπηυθράκωμαι ὅλως ὁ κακοδαίμων, καὶ ζέω. ΘΑ. Διατί δέ σοι ἐνέβαλε τὸ πῦρ; ΞΑΝ. Διὰ [8]τὸν υἱὸν τῆς Θέτιδος· ἐπεὶ γὰρ φονεύοντα τοὺς Φρύγας ἱκέτευσα, ὅδ' οὐκ [9]ἐπαύσατο τῆς ὀργῆς, ἀλλ' ὑπὸ τῶν νεκρῶν [10]ἀπέφραττέ μοι τὸν ῥοῦν, ἐλεήσας τοὺς ἀθλίους ἐπῆλθον, ἐπικλύσαι θέλων, ὡς φοβηθεὶς [11]ἀπόσχοιτο τῶν ἀνδρῶν. ἐνταῦθα ὁ Ἥφαιστος, [12]ἔτυχε καὶ γὰρ πλησίον που ὤν, πᾶν [13]ὅσον, οἶμαι, πῦρ εἶχε, καὶ ὅσον ἐν τῇ Αἴτνῃ, καὶ [14]εἴποθι ἄλλοθι, φέρων, ἐπῆλθέ μοι· καὶ ἔκαυσε μὲν τὰς πτελέας, καὶ μυρίκας· ὤπτησε δὲ καὶ τοὺς κακοδαίμονας ἰχθῦς, καὶ τὰς ἐγχέλυας· [15]αὐτὸν δὲ ἐμὲ ὑπερκαχλάσαι ποιήσας, [16]μικροῦ δεῖν ὅλον ξηρὸν εἴργασται· ὁρᾷς δ' οὖν, ὅπως διάκειμαι ὑπὸ τῶν ἐκκαυμάτων. ΘΑ. [17]Θολερὸς, ὦ Ξάνθε, καὶ θερμός, ὡς εἰκός· [18]τὸ αἷμα μὲν,

μὲν, ἀπὸ τῶν νεκρῶν· ἡ θέρμη δὲ, ὡς φῄς, ἀπὸ τοῦ πυρός· καὶ εἰκότως, ὦ Ξάνθε, ὃς ἐπὶ τὸν ἐμὸν υἱὸν ὥρμησας, [1]οὐκ αἰδεσθεὶς ὅτι Νηρηΐδος υἱὸς ἦν. ΞΑΝ. Οὐκ ἔδει οὖν ἐλεῆσαι γείτονας ὄντας τοὺς Φρύγας; ΘΑ. Τὸν Ἥφαιστον δὲ οὐκ ἔδει ἐλεῆσαι Θέτιδος υἱὸν ὄντα τὸν Ἀχιλλέα;

ΔΙΑΛΟΓΟΣ δ'.

ἩΦΑΙΣΤΟΣ καὶ ΖΕΥΣ.

ἩΦΑΙ. Τί με, ὦ Ζεῦ, δεῖ ποιεῖν; ἥκα γὰρ, ὡς ἐκέλευσας, ἔχων τὴν πέλεκυν ὀξύτατον, εἰ καὶ λίθους δέοι μιᾷ πληγῇ [2]διατεμεῖν. Ζ. Εὖγε, ὦ Ἥφαιστε. ἀλλὰ [3]δίελέ μου τὴν κεφαλὴν εἰς δύο, [4]κατενεγκών. ἩΦΑΙ. [5]Πειρᾷ μου, εἰ μέμηνα; [6]πρόσταττε δ' οὖν τἀληθὲς, ὅπερ θέλεις σοι γενέσθαι. Ζ. Διαιρεθῆναί μοι τὸ κρανίον· εἰ δὲ ἀπειθήσεις, οὐ νῦν πρῶτον ὀργιζομένου πειράσῃ μου· [7]ἀλλὰ χρὴ καθικνεῖσθαι παντὶ τῷ θυμῷ, μηδὲ μέλλειν· ἀπόλλυμαι γὰρ ὑπὸ τῶν ὠδίνων, [8]αἵ μου τὸν ἐγκέφαλον ἀναστρέφουσιν. ἩΦΑΙ. Ὅρα, ὦ Ζεῦ, μὴ κακόν τι ποιήσωμεν. ὀξὺς γὰρ ὁ πέλεκύς ἐστι, καὶ οὐκ ἀναιμωτὶ, [9]οὐδὲ κατὰ τὴν Εἰλείθυιαν, μαιώσεταί σε. Ζ. Κατένεγκε μόνον, ὦ Ἥφαιστε, θαῤῥῶν· οἶδα γὰρ ἐγὼ τὸ συμφέρον, ἩΦΑΙ. Ἄκων μέν, [10]κατοίσω δέ. τί γὰρ χρὴ ποιεῖν,

σοῦ

σȣ̃ κελεύοντος; τί τȣ̃το; κόρη ἔνοπλος; μέγα, ὦ Ζεῦ, κακὸν εἶχες ἐν τῇ κεφαλῇ· εἰκότως γȣ̃ν [1]ὀξύθυμος ἦσθα, [2]τηλικαύτην ὑπὸ τὴν μήνιγγα παρθένον ζωογονῶν, καὶ ταῦτα ἔνοπλον· ἦπȣ στρατόπεδον, ȣ̓ κεφαλὴν [3]ἐλελήθεις ἔχων· ἡ δὲ πηδᾷ, καὶ [4]πυῤῥιχίζει, καὶ τὴν ἀσπίδα τινάσσει, καὶ τὸ δόρυ πάλλει, καὶ ἐνθȣσιᾷ· καὶ [5]τὸ μέγιστον, καλὴ πάνυ καὶ ἀκμαία [6]γεγενῆται ἤδη [7]ἐν βραχεῖ· γλαυκῶπις μὲν, ἀλλὰ κοσμεῖ καὶ [8]τȣ̃το ἡ κόρυς· ὥστε, ὦ Ζεῦ, μαίωτρά μοι ἀπόδος [9]ἐγγυήσας μοι αὐτήν· Ζ. Ἀδύνατα αἰτεῖς, ὦ Ἥφαιστε· παρθένος γὰρ ἀεὶ θέλει μένειν· ἐγὼ γȣ̃ν [10]τό γε ἐπ' ἐμοὶ οὐδὲν ἀντιλέγω. ἩΦΑΙ. Τοῦτ' ἐβȣλόμην. ἐμοὶ μελήσει τὰ λοιπά· καὶ ἤδη συναρπάσω αὐτήν. Ζ. Εἴ σοι ῥᾴδιον, ȣ̓τω ποίει. πλὴν οἶδα ὅτι ἀδυνάτων ἐρᾷς.

ΔΙΑΛΟΓΟΣ ε.

ΖΕΥΣ, ΑΣΚΛΗΠΙΟΣ, ἩΡΑΚΛΗΣ.

ΖΕ. [11]Παύσασθε, ὦ Ἀσκληπιὲ καὶ Ἡράκλεις, ἐρίζοντες πρὸς ἀλλήλȣς ὥσπερ ἄνθρωποι. [12]ἀπρεπῆ γὰρ ταῦτα, καὶ [13]ἀλλότρια τȣ̃ συμποσίȣ τῶν θεῶν. ἩΡΑ. Ἀλλὰ ἐθέλεις, ὦ Ζεῦ, [14]τȣτονὶ τὴν φαρμακέα προκατακλίνεσθαί μȣ; ΑΣΚ. Νὴ Δία· καὶ ἀμείνων γὰρ εἰμι. ἩΡΑ. Κατὰ τί, ὦ ἐμβρόντητε; ἢ διότι σε ὁ

Ζεὺς ἐκεραύνωσεν, [1]ἃ μὴ θέμις ποιεῖν, νῦν δὲ κατ' ἔλεον αὖθις ἀθανασίας [2]μετείληφας; ΑΣΚ. [3]Ἐπιλέλησαι γὰρ καὶ σὺ, ὦ Ἡράκλες, ἐν τῇ Οἴτῃ καιόμενος, ὅτι μοι ὀνειδίζεις τὸ πῦρ; ΗΡΑ. [4]Οὔκουν ἴσα καὶ ὅμοια βεβίωται ἡμῖν· ὃς Διὸς μὲν υἱός εἰμι, [5]τοσαῦτα δὲ πεπόνηκα ἐκκαθαίρων τὸν βίον, θηρία καθαγωνιζόμενος, καὶ ἀνθρώπους ὑβριστὰς τιμωρούμενος· σὺ δὲ ῥιζοτόμος εἶ, καὶ ἀγύρτης, νοσοῦσι μὲν ἴσως ἀνθρώποις χρήσιμος [6]ὑποθήσῃ τῶν φαρμάκων, ἀνδρῶδες δὲ οὐδὲν [7]ὑποδεδειγμένος. ΑΣΚ. Εὖ λέγεις· ὅτι σε τὰ ἐγκαύματα ἰασάμην, ὅτε πρώην ἀνῆλθες ἡμίφλεκτος ὑπ' ἀμφοῖν [8]διεφθαρμένος τὼ σώματι, [9]ὃ χιλῶν, καὶ μετὰ τοῦτο, ὃ πυρός· ἐγὼ δὲ εἰ καὶ μηδὲν ἄλλο, ἀλλ' ἔτε ἐδέλευσα ὥσπερ σὺ, [10]ἀλλ' ἔξαινον ἔρια ἐν Λυδίᾳ [11]πορφυρίδα ἐνδεδυκὼς, καὶ παιόμενος [12]ὑπὸ τῆς Ὀμφάλης χρυσῷ σανδάλῳ· ἀλλ' [13]οὐδὲ μελαγχολήσας ἀπέκτεινα τὰ τέκνα καὶ τὴν γυναῖκα. ΗΡΑ. Εἰ μὴ [14]παύσῃ λοιδορούμενός μοι, αὐτίκα [15]μάλα εἴσῃ, ὡς ὀ πολύ σε ὀνήσει ἡ ἀθανασία· ἐπεὶ [16]ἀράμενός σε, ῥίψω ὅπου κεφαλὴν ἐκ ὀρανοῦ, [17]ὥστε μηδὲ τὸν Παιήονα ἰάσασθαί σε, τὸ κρανίον συνηρειμένα. Ζ. Παύσασθέ φημι, καὶ μὴ ὑπαράττετε ἡμῖν τὴν ξυνουσίαν, ἢ ἀμφοτέρους [18]ἀποπέμψομαι ὑμᾶς ἐκ συμποσίου· [19]καίτοι εὔγνωμον,

εὔγνωμον, ὦ Ἡρακλες, προκαταλίνεθαί σε τ' Ἀσκληπιὸν, ἅτε κ) πρότερον ἀποθανόντα.

ΔΙΑΛΟΓΟΣ ε'.

ΑΡΗΣ κ) ΕΡΜΗΣ.

ΑΡ. Ἤκουσας, ὦ Ἑρμῆ, οἷα ἠπείλησεν ἡμῖν ὁ Ζεὺς, ὡς ὑπεροπλικὰ κ) ἀπίθανα; [1] Ἰὼ ἐθελήσω, φησὶν, ἐγὼ μὲν ἐκ τ' οὐρανοῦ σειρὰν καθήσω, [2] ὑμεῖς δ' ἦν ἀποκρεμαθέντες καλασπᾶν βιάζησθέ με, μάτην πονήσετε· οὐ γὰ δὴ καθελκύσετε· εἰ δ' ἐγὼ θελήσαιμι ἀνελκύσαι, οὐ μόνον ὑμᾶς, ἀλλὰ κ) τὴν γῆν ἅμα, [3] κ) τὴν θάλασσαν συναρπήσας μετεωριῶ· κ) τἄλλα ὅσα κ) σὺ [4] ἀκήκοας: ἐγὼ δ' ὅτι μέν [5] καθ' ἕν' ἀπάντων ἀμείνων, κ) ἰσχυρότερός ἐσιν, [6] οὐκ ἂν ἀρνηθείην· [7] ὁμῶς δ' τῶν τοσούτων ὑπερφέρομαι, [8] ὡς μὴ καταβαρήσειν αὐτὸν, κἂν τὴν γῆν κἂν τὴν θάλασσαν [9] προσλάβωμεν, [10] οὐκ ἂν πειθοίμην. ΕΡ. [11] Εὐφήμει, ὦ Ἄρες· οὐ γὰ ἀσφαλὲς λέγειν τὰ τοιαῦτα, μὴ κ) τι κακὸν ἀπολαύσωμεν [12] τῆς φλυαρίας. ΑΡ. [13] Οἴει γὰ με πρὸς πάντας ἂν ταῦτα εἰπεῖν, [14] οὐχὶ δ' πρὸς μόνον σέ, ὃν ἐχεμυθεῖν ἠπιστάμην; [15] ὃ γοῦν μάλιστα γελοῖον ἔδοξέ μοι ἀκούοντι μεταξὺ τ' ἀπειλῆς, οὐκ ἂν δυναίμην σιωπῆσαι πρὸς σέ· μέμνημαι γὰρ [16] οὐ πρὸ πολλοῦ, ὁπότε [17] ὁ Ποσειδῶν, κ) ἡ Ἥρα,

κ)

καὶ ἡ Ἀθηνᾶ [1]ἐπαναστάντες, [2]ἐπιβάλευσαν ξυνδῆσαι αὐτὸν λαβόντες, [3]ὡς παντοῖον ἰὼν δεδιώς, [4]καὶ ταῦτα τρεῖς ὄντας. καὶ εἰ μή γε ἡ Θέτις κατελεήσασα ἐκάλεσεν αὐτῷ σύμμαχον [5]Βριάρεων ἑκατόγχειρα ὄντα, [6]κἂν ἐδέδεντο αὐτῷ κεραυνῷ καὶ βροντῇ. ταῦτα λογιζομένῳ [7]ἐπήει μοι γελᾶν ὅτι τῇ καλλιρημοσύνῃ αὐτῶν. ΕΡ. Σιώπα· εὐφήμει. ἐ γὰρ ἀσφαλὲς ἔτε σοὶ λέγειν, ἔτε ἐμοὶ ἀκέειν τὰ τοιαῦτα.

ΔΙΑΛΟΓΟΣ ζ'.

ΜΕΝΕΛΑΟΣ καὶ ΠΡΩΤΕΥΣ.

ΜΕ. Ἀλλὰ ὕδωρ μέν σε γίνεσθαι, ὦ [8]Πρωτεῦ, οὐκ ἀπίθανον, [9]ἐνάλιόν γε ὄντα, [10]καὶ δένδρον ἔτι φορητόν. καὶ ἐς λέοντα ὁπότε [11]ἀλλαγείης, ἔμως ἐδὲ τοῦτο ἔξω πίστεως· εἰ δὲ καὶ πῦρ γίνεσθαι δυνατὸν ἐν τῇ θαλάττῃ οἰκοῦντα, τοῦτο πάνυ θαυμάζω, καὶ ἀπιστῶ. ΠΡΩ. Μὴ θαυμάσῃς, ὦ Μενέλαε· γίγνομαι γάρ. ΜΕ. Εἶδον καὶ αὐτός· ἀλλά μοι δοκεῖς, [12]εἰρήσεσθαι γὰρ πρὸς σὲ, γοητείαν τινὰ προσάγειν τῷ πράγματι, καὶ τὰς ὀφθαλμὰς ἐξαπατᾶν τῶν ὁρώντων, αὐτὸς ἐδὲν τοιοῦτο γιγνόμενον. ΠΡΩ. Καὶ τίς ἂν ἡ ἀπάτη ὅτι τῶν ἔτως ἐναργῶν γένοιτο; ἢ [13]ἀνεῳγμένοις τοῖς ὀφθαλμοῖς εἶδες, [14]ἐς ὅσα μεταπεποίησα ἐμαυτόν; εἰ δὲ ἀπιστεῖς, καὶ

τὸ

τό πρᾶγμα ψευδὲς μὲν εἶναι δοκεῖ, φαντασία δέ τις πρὸ τῶν ὀφθαλμῶν ἱςαμένη, ἐπειδὰν πῦρ γένωμαι, [1]προσένεγκαί μοι, ὦ γενναιότατε, τὴν χεῖρα· [2]εἴσῃ γὰρ, εἰ ὁρῶμαι μόνον, ἢ ⊂ [3]τὸ καίειν τότε μοι πρόσεςιν. ΜΕ. Οὐκ ἀσφαλὴς ἡ πεῖρα, ὦ Πρωτεῦ. ΠΡΩ. Σὺ δέ μοι, Μενέλαε, δοκεῖς [4]οὐδὲ πολύπουν ἑωρακέναι πώποτε, [5]οὐδ' ὃ πάσχει ὁ ἰχθὺς οὗτος εἰδέναι. ΜΕ. Ἀλλὰ τὸν μὲν πολύπουν εἶδον· ἃ πάσχει δὲ, ἡδέως ἂν μάθοιμι παρὰ σοῦ. ΠΡΩ. [6]Ὁποίᾳ ἂν πέτρᾳ προσελθὼν ἁρμόσῃ τὰς κοτύλας, καὶ προσφὺς ἔχηται κατὰ τὰς πλεκτάνας, ἐκείνῃ ὅμοιον ἀπεργάζεται ἑαυτὸν, καὶ μεταβάλλει τὴν χρόαν, μιμούμενος τὴν πέτραν, ὡς ἂν [7]λάθῃ τοὺς ἁλιέας, μὴ διαλλάττων, μηδὲ φανερὸς ὢν διὰ τοῦτο, ἀλλ' ἐοικὼς τῷ λίθῳ. ΜΕ. Φασὶ ταῦτα· [8]τὸ δὲ σὸν πολλῷ παραδοξότερον, ὦ Πρωτεῦ. ΠΡΩ. Οὐκ οἶδα, ὦ Μενέλαε, τίνι ἂν ἄλλῳ [9]πιςεύσειας, τοῖς σεαυτοῦ ὀφθαλμοῖς ἀπιςῶν; ΜΕ. Ἰδὼν εἶδον· ἀλλὰ τὸ πρᾶγμα τεράςιον, τὸν αὐτὸν πῦρ καὶ ὕδωρ γίγνεσθαι.

ΔΙΑΛΟΓΟΣ η'.

ΑΠΟΛΛΩΝ καὶ ἘΡΜΗΣ.

ΑΠ. [10]Ἔχεις μοι εἰπεῖν, ὦ Ἑρμῆ, πότερος ὁ Κάςωρ ἐςὶ τούτων, ἢ πότερος ὁ Πολυδεύκης; ἐγὼ γὰρ οὐκ

ἂν

ἂν διακρίναιμι αὐτούς. ΈΡ. Ὁ μὲν χθὲς ἡμῖν [1]ξυγγενόμενος, ἐκεῖνος Κάστωρ ἦν, οὗτος δὲ Πολυδεύκης. ΑΠ. Πῶς διαγιγνώσκεις; [2]ὅμοιοι γάρ. ΈΡ. Ὅτι οὗτος μὲν, ὦ Ἀπολλον, ἔχει ἐπὶ τοῦ προσώπου τὰ ἴχνη τῶν τραυμάτων, ἃ ἔλαβε παρὰ τῶν ἀνταγωνιστῶν πυκτεύων· καὶ μάλιστα, [3]ὁπόσα ὑπὸ τοῦ Βέβρυκος Ἀμύκου ἐτρώθη, τῷ Ἰάσονι συμπλέων· [4]ἅτερος δὲ οὐδὲν τοιοῦτον ἐμφαίνει, ἀλλὰ καθαρός ἐστι, καὶ ἀπαθὴς [5]τὸ πρόσωπον. ΑΠ. [6]Ὤνησας, διδάξας τὰ γνωρίσματα· ἐπεὶ τάγε ἄλλα πάντα ἴσα, τοῦ ὠοῦ τὸ ἡμίτομον, καὶ ἀστὴρ ὑπεράνω, καὶ ἀκόντιον ἐν τῇ χειρὶ, καὶ ἵππος ἑκατέρῳ λευκός· ὥστε πολλάκις ἐγὼ τὸν μὲν προσεῖπον Κάστορα, Πολυδεύκην ὄντα· τὸν δὲ τῷ τοῦ Πολυδεύκους ὀνόματι. ἀτὰρ εἶπέ μοι καὶ τόδε, τί δήποτε οὐκ ἄμφω [7]ξύνεισιν ἡμῖν, ἀλλ' [8]ἐξ ἡμισείας, ἄρτι μὲν νεκρὸς, ἄρτι δὲ θεός ἐστιν ἅτερος αὐτῶν. ΈΡ. Ὑπὸ φιλαδελφίας τοῦτο ποιοῦσιν· ἐπεὶ γὰρ ἔδει ἕνα μὲν [9]τεθνάναι τῶν Λήδας υἱέων, ἕνα δὲ ἀθανάτον εἶναι, ἐνείμαντο οὕτως αὐτοὶ τὴν ἀθανασίαν. ΑΠ. Οὐ ξυνετὴν, ὦ Ἑρμὴ, τὴν νομὴν, εἴγε οὐδὲ ὄψονται οὕτως ἀλλήλους, ὅπερ ἐπόθουν, οἶμαι, μάλιστα. πῶς γὰρ, ὁ μὲν παρὰ θεοῖς, ὁ δὲ παρὰ τοῖς φθιτοῖς ὤν; [10]πλὴν ἀλλὰ, ὥσπερ ἐγὼ μαντεύομαι, ὁ δὲ Ἀσκληπιὸς ἰᾶται, σὺ δὲ παλαίειν διδάσκεις, παιδοτρίβης ἄριστος ὢν, ἡ δὲ Ἄρτεμις μαιεύεται, καὶ τῶν ἄλ-

λων

λων ἕκαστος ἔχει τίνα τέχνην, ἢ θεοῖς ἢ ἀνθρώποις χρσηίμην· οὗτοι δὲ, τί ποιήσουσιν ἡμῖν; [1] ἢ ἀργοὶ ἐυωχήσονται, τηλικοῦτοι ὄντες; ἙΡ. Οὐδαμῶς· ἀλλὰ προστέτακται αὐτοῖν ὑπηρετεῖν τῷ Ποσειδῶνι, καὶ καθιππεύειν δεῖ τὸ πέλαγος, καὶ ἄν που ναύτας χειμαζομένους ἴδωσιν, ἐπικαθίσαντας ἐπὶ τὸ πλοῖον, σώζειν τοὺς ἐμπλέοντας. ἈΠ. Ἀγαθὴν, ὦ Ἑρμῆ, καὶ σωτήριον λέγεις τὴν τέχνην.

ΔΙΑΛΟΓΟΣ θ'.

ἙΡΜΗΣ καὶ ΜΑΙΑ.

ἙΡ. [2] Ἔστι γάρ τις, ὦ μῆτερ, ἐν οὐρανῷ θεὸς ἀθλιώτερος ἐμοῦ; ΜΑ. Μὴ λέγε, ὦ Ἑρμῆ, τοιοῦτον μηδέν· ἙΡ. [3] Τί μὴ λέγω, ὃς τοσαῦτα πράγματα ἔχω, μόνος κάμνων, καὶ πρὸς τοσαύτας ὑπηρεσίας διασπώμενός; ἕωθεν μὲν γὰρ ἐξαναστάντα σαίρειν τὸ συμπόσιον δεῖ· καὶ [4] διαστρώσαντα τὴν ἐκκλησίαν, εἶτα εὐθετήσαντα ἕκαστα, παρεστάναι τῷ Διΐ, καὶ διαφέρειν τὰς ἀγγελίας τὰς παρ' αὐτοῦ ἄνω καὶ κάτω ἡμεροδρομοῦντα· [5] καὶ ἐπανελθόντα ἔτι κεκονιμένον παρατιθέναι τὴν ἀμβροσίαν· [6] πρὶν δὲ τὸν νεώνητον τοῦτον οἰνοχόον ἥκειν, καὶ τὸ νέκταρ ἐγὼ ἐνέχεον. τὸ δὲ πάντων δεινότατον, ὅτι μηδὲ νυκτὸς καθεύδω μόνος τῶν ἄλλων, ἀλλὰ δεῖ με

καὶ

καὶ τότε τῷ Πλούτωνι ψυχαγωγεῖν, καὶ νεκροπομπὸν εἶναι, καὶ παρεστάναι τῷ δικαστηρίῳ. οὐ γὰρ ἱκανὰ μοι τὰ τῆς ἡμέρας ἔργα, ἐν παλαίστραις εἶναι, κἂν ταῖς ἐκκλησίαις κηρύττειν, καὶ ῥήτορας ἐκδιδάσκειν, [1] ἀλλ' ἔτι καὶ νεκρικὰ συνδιαπράττειν μεμερισμένον· καίτοι [2] τὰ μὲν τῆς Λήδας τέκνα, παρ' ἡμέραν ἑκάτερος ἐν οὐρανῷ καὶ [3] ἐν ᾅδου εἰσίν· ἐμοὶ δὲ καθ' ἑκάστην ἡμέραν καὶ ταῦτα κἀκεῖνα ποιεῖν ἀναγκαῖον. [4] Καὶ οἱ μὲν Ἀλκμήνης καὶ Σεμέλης υἱοὶ, ἐκ γυναικῶν δυστήνων γενόμενοι, εὐωχοῦνται ἀφρόντιδες· [5] ὁ δὲ Μαῖας τῆς Ἄτλαντος διακονοῦμαι αὐτοῖς. καὶ νῦν ἄρτι ἥκοντά με ἀπὸ Σιδῶνος [6] παρὰ τῆς Κάδμου θυγατρὸς, ἐφ' ἣν [7] πέπομφέ με ὀψόμενον ὅ, τι πράττει ἡ παῖς, μηδὲ ἀναπνεύσαντα, πέπομφεν αὖθις ἐς τὸ Ἄργος ἐπισκεψόμενον τὴν Δανάην. εἶτ' ἐκεῖθεν ἐς Βοιωτίαν, φησὶν, ἐλθῶν, ἐν παρόδῳ τὴν Ἀντίοπην ἰδέ. καὶ ὅλως [8] ἀπηγόρευκα ἤδη. εἰ γοῦν μοι δυνατὸν ἦν, ἡδέως [9] ἂν ἠξίωσα πεπρᾶσθαι, ὥσπερ οἱ ἐν γῇ κακῶς δουλεύοντες. ΜΑ. Ἔα ταῦτα, ὦ τέκνον· χρὴ γὰρ πάντα ὑπηρετεῖν τῷ πατρὶ, νεανίαν ὄντα· Καὶ νῦν, ὥσπερ ἐπέμφθης, σόβει ἐς Ἄργος, εἶτα ἐς τὴν Βοιωτίαν, μὴ καὶ πληγὰς βραδύνων λάβοις· ὀξύχολοι γὰρ οἱ ἐρῶντες.

V.

V.

Ex *PLUTARCHI* APOPHTHEGMATIS.

[1]ΠΛΟΥΤΑΡΧΟΥ ΑΠΟΦΘΕΓΜΑΤΑ.

ά. Μέμνονος.

[2]ΜΕΜΝΩΝ, ὁ Ἀλεξάνδρῳ [3]πολεμῶν ὑπὲρ Δαρείε τ βασιλέως, μισθοφόρον τινὰ, [4]πολλὰ βλάσφημα κ ἀσελγῆ εἰς Ἀλεξάνδρε λέγοντα, τ λόγχῃ πατάξας· Ἐγώ σε, εἶπε, [5]τρέφω μαχόμενον, ἀλλ' ὐ λοιδορούμενον Ἀλεξάνδρῳ.

β. Αἰγυπτίων Βασιλ. ἔθος.

Οἱ Αἰγυπτίων βασιλεῖς κατὰ νόμον ἑαυτῶν τὸς δικασὰς [6]ἐξώρκιζον, ὅτι, κἂν βασιλεύς τι προσάξῃ κρῖναι τῶν μὴ δικαίων, ὐ κρινοῦσι

γ'. Πόλτυς.

Πόλτυς ὁ Θρᾳκῶν βασιλεὺς, ἐν τῷ Τρωϊκῷ πολέμῳ [1]πρεσβευσαμένων πρὸς αὐτὸν ἅμα τῶν Τρώων καὶ τῶν Ἀχαιῶν, [2]ἐκέλευσε τὸν Ἀλέξανδρον, ἀποδόντα τῷ Ἑλένην, δύο παρ' αὐτοῦ λαβεῖν καλὰς γυναῖκας.

δ'. Τήρης.

Τήρης ὁ [3]Σιτάλκου πατὴρ ἔλεγεν, ὁπότε χολάζοι καὶ μὴ βασανεύοιτο, [4]τῶν ἱπποκόμων οἷς μηδὲν διαφέρειν.

ε'. Ἰδανθύρσου.

Ἰδάνθυρσος ὁ Σκυθῶν βασιλεὺς, ἐφ' οὗ [5]διέβη Δαρεῖος, ἔπεισε τοὺς Ἰώνων τυράννους τὸ [6]τοῦ Ἴστρου ζεῦγμα λύσαντας [6]ἀπαλλάττειν· μὴ βουληθέντας δὲ, διὰ τὴν πρὸς Δαρεῖον πίστιν, ἀνδράποδα χρησὰ καὶ ἄδρασα ἐκάλει.

ς'. Ἀτέας.

Ἀτέας ἔγραφε πρὸς τὸν Φίλιππον· Σὺ μὲν [7]ἄρχεις Μακεδόνων, ἀνθρώπων [8]μεμαθηκότων πολεμεῖν· ἐγὼ δὲ Σκυθῶν, οἳ καὶ λιμοῦ καὶ δίψους μάχεσθαι δύνανται. Τοὺς δὲ πρέσβεις τοῦ Φιλίππου, ψήχων τὸν ἵππον, [9]ἠρώτησεν, εἰ τοῦτο ποιεῖ Φίλιππος. Ἰσμηνίαν δὲ, τὸν ἄριστον αὐλητὴν, λαβὼν αἰχμάλωτον, ἐκέλευσεν αὐλῆσαι.

[1] θαυμαζόντων

[1]θαυμαζόντων δὲ τῶν ἄλλων, αὐτὸς [2]ὤμοσεν ἥδιον ἀκούειν τοῦ ἵππου χρεμετίζοντος.

ζ'. Σκιλούρου.

Σκίλουρος ὀγδοήκοντα παῖδας ἄῤῥενας ἀπολιπὼν, [3]ἐπεὶ τελευτᾷν ἔμελλε, δέσμην ἀκοντίων ἑκάστῳ προτείνον, ἐκέλευσε καταθραῦσαι· πάντων δὲ ἀπαγορευσάντων, καθ' ἓν αὐτὸς [4]ἐξελὼν ἀκόντιον, ἅπαντα ῥᾳδίως [5]συνέκλασε· διδάσκων ἐκείνους, ὅτι [6]συνεστῶτες, ἰσχυροὶ διαμενοῦσιν, ἀσθενεῖς δ' ἔσονται διαλυθέντες καὶ στασιάσαντες.

η'. Ἀγαθοκλέους.

Ἀγαθοκλῆς υἱὸς ἦν κεραμέως· γενόμενος δὲ κύριος Σικελίας, καὶ βασιλεὺς ἀναγορευθεὶς, [7]εἰώθει κεράμεα ποτήρια τιθέναι παρὰ τὰ χρυσᾶ, καὶ τοῖς νέοις ἐπιδεικνύμενος λέγειν, [8]ὅτι τοιαῦτα ποιῶν πρότερον, νῦν ταῦτα ποιεῖ διὰ τὴν ἐπιμέλειαν καὶ τὴν ἀνδρίαν. Πολιορκοῦντος δὲ πόλιν αὐτοῦ, τῶν ἀπὸ τοῦ τείχους τινὲς ἐλοιδοροῦντο, λέγοντες [9]ὅτι, [7]Ὦ κεραμεῦ, τὸν μισθὸν πόθεν ἀποδώσεις τοῖς στρατιώταις; ὁ δὲ πρᾶος καὶ μειδιῶν εἶπεν, [10]Αἴκα ταύταν ἕλω. λαβὼν δὲ [11]κατὰ κράτος, ἐπίπρασκε τοὺς αἰχμαλώτους, λέγων, Ἐάν με πάλιν λοιδορῆτε, [12]πρὸς τοὺς κυρίους ὑμῶν ἔσται μοι ὁ λόγος. Ἐγκαλούντων

λούντων δὲ τοῖς ναύταις αὐτοῦ τῶν Ἰθακησίων, ὅτι τῇ νήσῳ [1]προσβαλόντες τῶν θρεμμάτων τινὰ [2]ἀπέσπασαν, Ὁ δὲ ὑμέτερος, ἔφη, [3]βασιλεὺς ἐλθὼν πρὸς ἡμᾶς, οὐ μόνον τὰ πρόβατα λαβὼν, ἀλλὰ καὶ τὸν ποιμένα προσεκτυφλώσας ἀπῆλθε.

θ'. Δίωνος.

[4]Δίων, ὁ Διονύσιον ἐκβαλὼν ἐκ τῆς τυραννίδος, ἀκούσας ἐπιβουλεύειν αὐτῷ Κάλλιππον, ᾧ μάλιστα [5]τῶν φίλων καὶ ξένων ἐπίστευεν, [6]οὐχ ὑπέμεινεν ἐλέγξαι, βέλτιον εἶναι φήσας ἀποθανεῖν, ἢ ζῆν μὴ μόνον τοὺς πολεμίους, ἀλλὰ καὶ τοὺς φίλους φυλαττόμενον.

ι'. Ἀλεξάνδρου.

Ἀλέξανδρος ἔτι παῖς ὢν, πολλὰ [7]τοῦ Φιλίππου κατορθοῦντος, οὐκ ἔχαιρεν, ἀλλὰ πρὸς τοὺς συντρεφομένους ἔλεγε παῖδας: Ἐμοὶ δὲ ὁ πατὴρ οὐδὲν ἀπολείψει. τῶν δὲ παίδων λεγόντων ὅτι, Ταῦτά σοι [8]κτᾶται: Τί δὲ ὄφελος, εἶπεν, ἐὰν ἔχω μὲν πολλὰ, πράξω δὲ οὐδέν; Ἐλαφρὸς δὲ ὢν καὶ ποδώκης, καὶ παρακαλούμενος ὑπὸ τοῦ πατρὸς [9]Ολύμπια δραμεῖν στάδιον, Εἶγε, ἔφη, βασιλεῖς ἕξειν ἔμελλον ἀνταγωνιστάς. [10]Ἐπιθυμιῶντι δὲ τοῖς θεοῖς ἀφειδῶς αὐτῷ, καὶ πολλάκις ἐπιδραττομένῳ τοῦ λιβανωτοῦ, παρὼν Λεωνίδης ὁ παιδαγωγὸς· Οὕτως, εἶπεν,

εἶπεν, ὦ παῖ, δαψιλῶς ὑπομιμνήσκῃ ὅταν τὸ λιβανωτοφόρε κρατήσῃς. ὡς δὲν ἐκράτησεν, ἔπεμψεν ὀψολὴν πρὸς αὐτὸν· Ἀπέσαλκά σοι τάλαντα ἑκατὸν λιβανωτοῦ καὶ κασίας, ἵνα μηκέτι μικρολογῇ πρὸς τοὺς θεούς, εἰδὼς ὅτι καὶ τῆς ἀρωματοφόρε κρατεῖμεν. Μέλλων δὲ τὸν πρὸς Γρανίκῳ μάχην μάχεσθαι, παρεκάλει τοὺς Μακεδόνας ἀφθόνως δειπνεῖν, καὶ πάντα φέρειν εἰς μέσον, ὡς αὔριον δειπνήσοντας ἐκ τῶν πολεμίων. Περίλλε δέ τινος τῶν φίλων αἰτήσαντος προῖκα τοῖς θυγατρίοις ἐκέλευσε πεντήκοντα τάλαντα λαβεῖν. αὐτὸς δὲ φήσαντος ἱκανὰ εἶναι δέκα· Σοί γε, ἔφη, λαβεῖν, ἐμοὶ δ' οὐχ ἱκανὰ δοῦναι. Ἀναξάρχῳ δὲ τῷ φιλοσόφῳ δοῦναι τὴν διοίκησιν ἐκέλευσεν ὅσον ἂν αἰτήσῃ· καὶ δὲ διοικήσας φήσαντος ὡς ἑκατὸν αἰτεῖται τάλαντα· Καλῶς, ἔφη, ποιεῖ, γινώσκων ὅτι φίλον ἔχει καὶ δυνάμενον τηλικαῦτα δωρεῖσθαι καὶ βελόμενον. Ἐν δὲ τῇ Μιλήτῳ πολλοὺς ἀνδριάντας ἀθλητῶν θεασάμενος Ὀλυμπια καὶ Πύθια νενικηκότων· Καὶ πόσα τὰ τηλικαῦτα ἦν σώματα, ἔφη, ὅτε οἱ βάρβαροι ὑμῶν τὴν πόλιν ἐπολιόρκουν; Τῆς δὲ τῶν Καρῶν βασιλίσσης Ἄδας ὄψα καὶ πέμματα, παρεσκευασμένα ἐκλεκτῶς διὰ δημιουργῶν καὶ μαγείρων, φιλοτιμουμένης ἀεὶ πέμπειν πρὸς αὐτὸν, ἔφη, κρείττονας ἔχειν αὐτὸν ὀψοποιούς, πρὸς μὲν ἄριστον, τὴν νυκτοπορίαν, πρὸς δὲ δεῖπνον, τὴν ὀλιγαρισίαν. Ἐπεὶ δὲ παρεσκευασμένων

ασμένων

ασμένων πάντων πρὸς μάχην, [1]ἠρώτησαν οἱ στρατηγοὶ· Μή τι πρὸς τοῦτοις ἕτερον· Οὐδὲν, εἶπεν, ἢ ξυρᾶν τὰ γήρεια τῶν Μακεδόνων. Θαυμάσαντος δὲ τοῦ Παρμενίωνος· [2]Οὐκ οἶδας, εἶπεν, ὅτι βελτίων ἐστὶν ἐν μάχῃ λαβὴ πώγωνος; Δαρεῖος [3]διδόντος αὐτῷ μυρία τάλαντα καὶ τὴν Ἀσίαν νέμοντος πρὸς αὐτὸν ὁπόσης, καὶ Παρμενίωνος εἰπόντος· Ἔλαβον ἂν εἰ Ἀλέξανδρος ἦμην· [4]Κἀγὼ νὴ Δία, εἶπεν, εἰ Παρμενίων ἦμην. ἀποκρινάμενος δὲ Δαρείῳ μήτε τὴν γῆν ἡλίους δύο, μήτε τὴν Ἀσίαν δύο βασιλεῖς ὑπομένειν. Μέλλοντι δὲ αὐτῷ ἀεὶ [5]τῶν ὅλων ἐν Ἀρβήλοις κινδυνεύειν [6]πρὸς ἑκατὸν μυριάδας ἀνθιταγμένας προσίεσαν οἱ φίλοι, τῶν στρατιωτῶν καθηγεμόνες, ὡς ἐν ταῖς σκηναῖς θαλαλύντων καὶ [7]συνθεμένων ὅπως μηδὲν τῶν λαφύρων εἰς [8]τὸ βασιλικὸν ἀνοίσουσιν, ἀλλ' αὐτοὶ κερδανοῦσιν· ὁ δὲ μειδιάσας· Ἀγαθὰ, φησὶν, ἀγγέλλεις. νικᾶν γὰρ ἀνδρῶν ἐ φεύγειν παρεσκευασμένων ἀκύω διαλογισμός. Παραλαμβανομένου δὲ τοῦ στρατεύματος, ἰδών τινα τῶν στρατιωτῶν τὸ ἀκόντιον ἐναγκυλούμενον, [9]ἐξέωσε τὸ φάλαγγος ὡς ἄχρηστον, ὃς παρασκευάζει δὴ νῦν ὅτε δεῖ χρῆσθαι τοῖς ὅπλοις. Ἐπιστολὴν δὲ παρὰ τῆς μητρὸς ἀναγινώσκων, ἀπορρήτους λόγους κατ' Ἀντιπάτρου διαβολὰς ἔχουσαν, ἅμα τῷ Ἡφαιστίωνος, (ὥσπερ εἰώθει,) συναναγινώσκοντος, οὐκ ἐκώλυσεν. ὡς δὲ [10]ἀνέγνω, τὸ δακτύλιον

τύλιον [1]ἀφελόμενος τ' ἑαυτῦ, τῷ σόμαλι τῷ ἐκείνυ τὴν σφραγίδα [2]ἐπέθηκεν. [3]Ἐν ᾗ Ἄμμωνος ὑπὸ τῦ προφήτυ παῖς Διὸς προσαγορευθεὶς, Οὐδέν γε, ἔφη, θαυμασόν· πάντων μὲν γὰρ ὁ Ζεὺς φύσει πατήρ ἐστιν, [4]ἑαυτῦ δὲ ποιεῖται τὰς ἀρίστας. Τοξεύματι δὲ [5]πληγεὶς εἰς τὸ σκέλος, ὡς πολλοὶ [6]συνέβαλλον τῶν πολλάκις εἰωθότων αὐτὸν θεὸν προσαγορεύειν, [7]Ἀναχυθεὶς τῷ προσώπῳ, Τετὶ μὺ, αἷμα, εἶπεν, ὡς ὁρᾶτε, καὶ οὐκ [8]ἰχὼρ, οἷός πέρ τε ῥέει μακάρεσσι θεοῖσιν. Ἐπαινέντων δὲ ἐνίων τῦ Ἀντιπάτρυ τὴν εὐτέλειαν ὡς ἀθρύπτως ἀλαιτωμένυ καὶ αὐστηρῶς, Ἔξωθεν, εἶπεν, Ἀντιπάτρου λευκοπάρυφός ἐστι, [9]τὰ δὲ ἔνδον, ὁλοπόρφυρος. Ἐν δὲ χειμῶνι καὶ ψύχει τῶν φίλων τινὸς [10]ἑστιῶντος αὐτὸν, ἐχάραν δὲ μικρὰν καὶ πῦρ ὀλίγον [11]εἰσενέγκαντος, ἢ ξύλα [12]ἢ λιβανωτὸν εἰσενεγκεῖν ἐκέλευσε. Τῶν δὲ Ἰνδῶν τ' ἄριστα τοξεύειν δοκούντων, καὶ λεγόμενον διὰ δακτυλίυ τὸν οἶστὸν ἀφιέναι, λαβὼν αὐχμάλωτον ἐκέλευσεν ὑποδείξαι· καὶ μὴ βαλόμενον ὀργισθεὶς [13]ἀνελεῖν προσέταξε. ἐπεὶ δὲ ἀγόμενος ὁ ἄνθρωπος ἔλεγε πρὸς τὰς ἀγωνίας, [14]ὅτι πολλῶν ἡμερῶν οὐ μεμελέτηκε, καὶ ἐφοβήθη ἀλαπεσεῖν, ἀκέσας ὁ Ἀλέξανδρος ἐθαύμασε, καὶ ἀπέλυσε μεθὰ δώρων αὐτὸν, [15]ὅτι μᾶλλον ἀποθανεῖν ὑπέμενεν ἢ τ' δόξης ἀνάξιος φανῆναι. Ἐπεὶ δὲ Ταξίλης, εἷς τῶν Ἰνδῶν βασιλεὺς ὢν, ἀπαντήσας

ἀπαυλήσας προὐκαλεῖτο μὴ μάχεσθαι μηδὲ πολεμεῖν Ἀλέξανδρον, ἀλλ' εἰ μή ἐστιν ἥττων, εὖ πάσχειν, εἰ δὲ βελτίων, εὖ ποιεῖν· ἀπεκρίναλο, ὡς αὐτῷ τοῦτο μαχητέον εἴη, πότερος εὖ ποιῶν φανήσεται. Περὶ δὲ τῆς λεγομένης Ἀόρνου πέτρας ἐν Ἰνδοῖς ἀκούσας ὅτι τὸ μὲν χωρίον δυσάλωτόν ἐστιν, ὁ δὲ ἔχων αὐτὸ δειλός ἐστιν· Νῦν, ἔφη, τὸ χωρίον εὐάλωτόν ἐστιν. Ἐπεὶ δὲ ἄλλος, ἔχων πέτραν ἄληπτον δοκοῦσαν εἶναι, ἐνεχείρισεν ἑαυτὸν μετὰ τῆς πέτρας τῷ Ἀλεξάνδρῳ, καὶ τῇ δυνάμεως ἐκέλευσεν ἄρχειν, καὶ προσέθηκε χώραν, εἰπὼν ὅτι, Φρονεῖν μοι δοκεῖ ὁ ἄνθρωπος, ἀνδρὶ μᾶλλον ἀγαθῷ πιστεύσας ἑαυτὸν ἢ ὀχυρῷ τόπῳ. Μετὰ δὲ τὴν τῆς πέτρας ἅλωσιν τῶν φίλων λεγόντων ὑπερβεβληκέναι τὸν Ἡρακλέα ταῖς πράξεσιν· Ἀλλ' ἐγώ, εἶπε, τὰς ἐμὰς πράξεις μετὰ τῆς ἡγεμονίας, ἐνὸς δὲ νομίζω ῥήματος ἀνταξίας εἶναι τὸν Ἡρακλέους. Τῶν δὲ πρώτων φίλων καὶ κρατίστων τιμᾶν μὲν ἐδόκει Κρατερὸν μάλιστα πάντων, φιλεῖν δὲ Ἡφαιστίωνα. Κρατερὸς μὲν γάρ, ἔφη, φιλοβασιλεύς ἐστι· Ἡφαιστίων δὲ, φιλαλέξανδρος. Ξενοκράτη δὲ τῷ φιλοσόφῳ πεντήκοντα τάλαντα πέμψας, ὡς οὐκ ἐδέξατο, μὴ δεῖσθαι φήσας, ἠρώτησεν εἰ μηδὲ φίλον ἔχει Ξενοκράτης. Ἐμοὶ μὲν γάρ, ἔφη, μόλις ὁ Δαρείου πλοῦτος εἰς τοὺς φίλους ἤρκεσεν. Ἐπεὶ δὲ Πῶρος ἐρωτηθεὶς ὑπ' αὐτοῦ μετὰ τὴν μάχην,

μάχῃ, Πῶς σοι χρήσομαι; Βασιλικῶς, εἶπε· κὴ προσερωτηθεὶς μή τι ἄλλο, Πάντα, εἶπεν, ἐν τῷ Βασιλικῶς ἔνεστι· θαυμάσας κὴ τὴν σύνεσιν αὐτῦ κὴ τὴν ἀνδραγαθίαν, πλείονα χώραν ἧς πρότερον εἶχε προσέθηκε. Πυθόμενος ὑπό τινος λοιδορεῖσθαι, Βασιλικὸν, ἔφη, ἐστὶν εὐ ποιοῦντα κακῶς ἀκούειν. Ἀποθνήσκων, πρὸς τοὺς ἑταίρους ἰδὼν, ἔφη, Μέγαν ὁρῶ μοι τὸν ὁπτάφιον ἐσόμενον. Τελευτήσαντος αὐτῦ, Δημάδης ὁ ῥήτωρ ὅμοιον ἔφη διὰ τὴν ἀναρχίαν ὁρᾶσθαι τὸ στρατόπεδον τῶν Μακεδόνων ἐκτετυφλωμένῳ τὰς κύκλωπι.

ιά. Λυσίμαχος.

Λυσίμαχος ἐν Θράκῃ κρατηθεὶς ὑπὸ Δρομαχέτου, καὶ διὰ δίψαν ἑαυτὸν κὴ τὸ στράτευμα παραδοὺς, ὡς ἔπιεν ἀκράτου ἡδόμενος, Ὦ θεοὶ, εἶπεν, ὡς μικρᾶς ἡδονῆς ἕνεκα δοῦλον ἐμαυτὸν ἐκ βασιλέως πεποίηκα. Πρὸς Φιλιππίδην, τὸν κωμῳδοποιὸν, φίλον ὄντα κὴ σύνηθη, Τίνος σοι, εἶπε, τῶν ἐμῶν μεταδῶ; κἀκεῖνος, Οὗ βούλει, πλὴν τῶν ἀπορρήτων.

ιβ. Ἀντίοχος.

Ἀντίοχος ὁ στρατεύσας δεύτερον ἐπὶ Πάρθους, ἐν τινι κυνηγεσίῳ κὴ διαγωγῇ, τῶν φίλων κὴ θεραπόντων

ἀποπλανηθεὶς, εἰς ἔπαυλιν πενήτων ἀνθρώπων ἀφικόμενος ἐσῆλθε· καὶ, παρὰ τὸ δεῖπνον, [1]ἐμβαλὼν λόγον περὶ τῆς βασιλέως, ἤκουσεν ὅτι [2]πάλλα χρησός ἐστιν, φίλοις ἢ μοχθηροῖς ὁπλρέπων [3]τὰ πλεῖστα παροραῖ, καὶ πολλάκις ἀμελεῖ τῶν ἀναγκαίων [4]διὰ τὸ λίαν φιλόθηρος εἶναι. τότε μὲν οὖν ἐσιώπησεν· [5]ἅμα δὲ ἡμέρᾳ, τῶν δορυφόρων παραγγυομένων ὅπλα τὴν ἔπαυλιν, φανερὸς γγόμενος, προσφερομένης τῆς πορφύρας αὐτῷ καὶ τοῦ διαδήματος, Ἀλλὰ [6]ἀφ' ἧς, εἶπεν, ἡμέρας ὑμᾶς ἀνείληφα, πρῶτον ἐχθὲς ἀληθινῶν λόγων ἤκουσα περὶ ἐμαυτοῦ. Τῶν δὲ Ἰουδαίων, πολιορκοῦντος αὐτοῦ τὰ Ἱεροσόλυμα, [7]πρὸς τιμὴν μεγίστην ἑορτὴν αἰτησαμένων ἑπτὰ ἡμερῶν ἀνοχὰς, οὐ μόνον ἔδωκε ταύτας, ἀλλὰ καὶ ταύρους [8]χρυσόκερως παρασκευασάμενος, καὶ θυμιαμάτων καὶ ἀρωμάτων πλῆθος, ἄχρι τῶν πυλῶν ἐπόμπευσε· καὶ [9]παραδοὺς τοῖς ἐκείνων ἱερεῦσι τὴν θυσίαν, αὐτὸς ἐπανῆλθεν εἰς τὸ στρατόπεδον. οἱ δὲ Ἰουδαῖοι θαυμάσαντες, εὐθὺς ἑαυτοὺς μετὰ τὴν ἑορτὴν [10]ἐνεχείρισαν.

VI.

VI.

E XENOPHONTE

DE CYRI INSTITUTIONE.

ΕΚ ΤΟΥ

ΞΕΝΟΦΩΝΤΟΣ

ΚΥΡΟΥ ΠΑΙΔΕΙΑΣ

ΒΙΒΛΙΟΥ Ε'.

——[2] Ὁ δὲ Κῦρος συνεκάλεσε πάντας τὲς ἄρχοντας τῶν συμμάχων· καὶ ἤδη πολλοί τε [3] ἐδόκουν καὶ καλοὶ καὶ ἀγαθοὶ παρεῖναι· ἐν οἷς δὴ ὁ Κῦρος λέγει τοιάδε·

" Ανδρες σύμμαχοι, Γαδάτας διέπραξεν [4] ἃ ἐδόκει
" πᾶσιν ἡμῖν πολλῆ ἄξια εἶναι· καὶ ταῦτα, [5] πρὶν καὶ
" ὁτιοῦν ἀγαθὸν ὑφ' ἡμῶν παθεῖν. Νῦν δὲ ὁ Ασσύριος
" εἰς τὴν χώραν αὐτῆ [6] ἐμβάλλειν ἀγγέλλει.—Νῦν
" ἔν, ὦ ἄνδρες, [7] καλόν τι ἂν μοι δοκῶμεν ποιῆσαι, εἰ
" προθύμως Γαδάτῃ βοηθήσαιμεν, ἀνδρὶ εὐεργέτῃ· καὶ

" ἅμα

" ἅμα δίκαια ποιοῖμεν ἂν, χάριν ἀποδιδόντες· ἀλλὰ
" μὴν καὶ σύμφορον γ' ἂν, ὡς ἐγὼ δοκῶ, πρᾶτοιμεν
" ἡμῖν αὐτοῖς. Εἰ γὰρ πᾶσι φαινοίμεθα τοὺς μὲν κα-
" κῶς ποιοῦντας νικᾶν πειρώμενοι κακῶς ποιοῦντες, τοὺς δ'
" εὐεργετοῦντας ἀγαθοῖς ὑπερβαλλόμενοι, εἰκὸς ἐκ τῶν
" τοιούτων φίλους μὲν ἡμῖν πολλοὺς βέλτιους γίγνεσθαι,
" ἐχθρὸν δὲ μηδένα ὀφθυμεῖν εἶναι· εἰ δὲ ἀμελήσαι
" δόξαιμεν Γαδάτα, πρὸς τῶν θεῶν ποίοις λόγοις ἄλ-
" λους πείθοιμεν ἂν χαρίζεσθαί τι ἡμῖν; πῶς δ' ἂν
" τολμῶμεν ἡμᾶς αὐτοὺς ἐπαινεῖν; πῶς δ' ἂν ἀντι-
" βλέψαι τις ἡμῶν δύναιτο Γαδάτᾳ, εἰ ἡττώμεθα
" αὐτοῦ εὖ ποιοῦντος, τοσοίδε ὄντες, ἑνὸς ἀνδρὸς, καὶ τότε
" ὅτω ἡμφιεσμένου;" Ὁ μὲν δὴ ὅτως εἶπεν· οἱ δὲ
πάντες συνεπῄνεσαν ἰσχυρῶς ταῦτα ποιεῖν.

Ἀγεῖτε τοίνυν, ἔφη, ἐπείπερ καὶ ὑμῖν συνδοκεῖ ταῦτα,
ὅπως μὲν τοῖς ὑποζυγίοις, καὶ ὀχήμασι καταλείπωμεν
ἕκαστοι τοὺς μετὰ τούτων ὁπηδοῦντας πορεύεσθαι. Γω-
βρύας δὲ ἡμῖν ἀρχέτω αὐτῶν, καὶ ἡγείσθω αὐτοῖς· καὶ
γὰρ ὁδῶν ἔμπειρος, καὶ τἄλλα ἱκανός· ἡμεῖς δὲ, ἔφη,
σὺν ἵπποις τοῖς δυναμωτάτοις καὶ ἀνδράσι πορευώμεθα,
τὰ ὁπλίδια τριῶν ἡμερῶν λαβόντες· ὅσῳ δ' ἂν κεφό-
τερα συσκευαζώμεθα καὶ εὐτελέστερον, τοσούτῳ τὰς
ὁπτέσας ἡμέρας ἥδιον ἂν ἀριστήσομέν τε καὶ δειπνήσομεν
καὶ καθευδήσομεν. Νῦν δ', ἔφη, πορευώμεθα ὧδε·

Πρῶτον

Πρῶτον μὲν ἄγε σὺ Χρυσάνθα τὺς θωρακοφόρυς, (ἐπεὶ ὁμαλή τε ἡ πλατεῖα ἡ ὁδός ἐστι) τὺς ταξιάρχυς ἔχων ἐν μετώπῳ πάντας· ἡ δὲ τάξις ἑκάστη ἐφ' ἑνὸς ἴτω· ἀθρόοι γὰρ ὄντες, καὶ [2]τάχιστα καὶ ἀσφαλέστατα ἂν πορευοίμεθα. Τούτυς δὲ ἕνεκα, ἔφη, τὺς θωρακοφόρυς κελεύω ἡγεῖσθαι, ὅτι τοῦτο [3]βαρύτατόν ἐστι τῶν στρατευμάτων. Τῷ δὲ βαρυτάτῳ ἡγεμόνι, ἀνάγκη ῥᾳδίως ἕπεσθαι πάντα τὰ [4]θᾶττον ἰόντα· ὅταν δὲ [5]τὸ τάχιστον ἡγῆται ἐν νυκτὶ, ἡδὲν ἐστι θαυμαστὸν καὶ λάθρα τὰ στρατεύματα· [6]τὸ γὰρ προταχθὲν ὑποδιδράσκει. Ἐπὶ δὲ τούτοις, ἔφη, Αρτάβαζον τὺς Περσῶν πελτασὰς καὶ τοξότας ἀγέτω· ὅπι δὲ τούτοις Ανδραμίας ὁ Μῆδος, [7]τὸ Μήδων πεζικόν· ἐπὶ δὲ τούτοις, Εμβας τὸ Αρμενίων πεζικόν· ὅπι δὲ τούτοις, Αρτέχας Υρκανίυς· ὅπι δὲ τούτοις, Θαμβράδας τὸ Σακῶν πεζικόν· ὅπι δὲ τούτοις, Δαμάτας Καδυσίυς. [8]Ἀγόντων δὲ καὶ ἕτοι πάντες, ἐν μεσώπῳ μὲν τὺς ταξιάρχυς ἔχοντες, δεξιὺς δὲ τὺς πελτασὰς, ἀριστερὺς δὲ τὺς τοξότας τῶν ἑαυτῶν πλαισίων· ἕτω γὰρ πορευόμενοι, καὶ εὐχρηστότεροι γίγνονται. Ἐπὶ δὲ τούτοις, ἔφη, οἱ σκευοφόροι πάντων [9]ἐπέσθωσαν· οἱ δὲ ἄρχοντες αὐτῶν [10]ὅπιμελείσθωσαν πάντων, ὅπως ἂν συνεσκευασμένοι τε ὦσι πάντα πρὶν καθεύδειν, καὶ πρωῒ σὺν τοῖς σκεύεσι παρῶσιν εἰς τὸν τεταγμένον χώραν, καὶ ὅπως κοσμίως ἕπωνται. Ἐπὶ δὲ τοῖς σκευοφόροις,

φόροις, ἔφη, τὲς Πέρσας ἱππέας Μαδάτας ὁ Πέρσας ἀγέτω, ἔχων καὶ ἕτερον τὲς ἑκατονταρχὲς τῶν ἱππέων ἐν μετώπῳ. ὁ δ' ἑκατόνταρχος τὴν τάξιν ἀγέτω εἰς ἕνα, ὥσπερ οἱ πέζαρχοι. Ἐπὶ δὲ τέτοις Ραμβάκας ὁ Μῆδος ὡσαύτως τὲς ἑαυτῦ ἱππέας· ὄπι δὲ τέτοις σὺ, ὦ Τιγράνη, τὸ σαυτῦ ἱππικόν· καὶ οἱ ἄλλοι δ' ἵπ-παρχοι, μεθ' ὧν ἕκαστος ἀφίκετο πρὸς ἡμᾶς· ὄπι τούτοις Σάκαι ἄγετε· ἕκατοι δ' ὥσπερ ἦλθον Κα-δέσιοι ἀγόντων στρατευμα· σὺ δὲ ὁ ἄγων αὐτὲς ὄπι-μελῦ, τὸ νῦν εἶναι, πάντων τῶν ὄπιθεν, καὶ μηδένα ἔα ὕστερον τῶν σῶν ἱππέων γίγνεσθαι. Ἐπιμελεῖσθε δὲ καὶ σιωπῇ πορεύεσθαι οἵ τε ἄρχοντες καὶ πάντες οἱ σωφρο-νέντες· διὰ γὰρ τῶν ὤτων ἐν τῇ νυκτὶ ἀνάγκη μᾶλλον ἢ διὰ τῶν ὀφθαλμῶν ἕκαστα καὶ αἰσθάνεσθαι καὶ πράττεσθαι· καὶ τὸ ταραχθῆναι δ' ἐν νυκτὶ πολὺ μεῖζόν ἐστι πρᾶγμα ἢ ἐν τῇ ἡμέρᾳ, καὶ δυσκαταστατώτερον· ἕνεκα ἥ τε σιωπὴ ἀσκητέα, καὶ ἡ τάξις διαφυλακτέα. Τὰς δὲ νυκτερινὰς, ἔφη, φυλακὰς, ὅταν μέλλητε νυκτὸς ἐξα-ναστήσεσθαι, ἀεὶ χρὴ ὡς βραχυτάτας καὶ ὡς πλείστας ποιεῖσθαι, ὡς μηδένα ἡ ἐν τῇ φυλακῇ ἀγρυπνία, πολλὴ οὖσα, λυμαίνηται, ἐν τῇ πορείᾳ· ἡνίκα δ' ἂν ὥρα ᾖ πο-ρεύεσθαι, σημαίνειν τῷ κέρατι. Ὑμεῖς δὲ ἔχοντες τὰ δεῖ ἕκαστον, πάρεσε εἰς τὴν ὄπι Βαβυλῶνος ὁδόν· ὁ δὲ ὁρμώμενος, ἀεὶ τῷ κατ' ἀρὰν παρεγγυάτω ἕπεσθαι.

Ex

[1]Ἐκ τούτου δὴ ᾤχοντο ἐπὶ τὰς σκηνὰς, καὶ ἅμα ἀπιόντες διελέγοντο πρὸς ἀλλήλους, [2]ὡς μνημονικὸς ὁ Κῦρος, ὁπόσοις συνέταττε, πῶς ὀνομάζων ἐνετέλλετο! Ὁ δὲ Κῦρος ἐπιμελείᾳ τοῦτο ἐποίει· πάνυ γὰρ αὐτῷ θαυμαστὸν ἐδόκει εἶναι, εἰ οἱ μὲν βάναυσοι ἴσασι τῆς ἑαυτοῦ τέχνης ἕκαστος τῶν ἐργαλείων τὰ ὀνόματα, καὶ ἰατρὸς δὲ οἶδε καὶ τῶν ὀργάνων καὶ τῶν φαρμάκων οἷς χρῆται πάντων τὰ ὀνόματα· ὁ δὲ στρατηγὸς οὕτως ἠλίθιος ἔσοιτο, ὥστε οὐκ [3]εἴσεται τῶν ὑφ' αὑτὸν ἡγεμόνων τὰ ὀνόματα, οἷς ἀνάγκη ἐστιν αὐτῷ ὀργάνοις χρῆσθαι, καὶ ὅταν προκαταλαβεῖν τι βούληται, καὶ ὅταν φυλάξαι, καὶ ὅταν θαῤῥῦναι, καὶ ὅταν φοβῆσαι. Καὶ ὅταν τιμῆσαι δὲ ποτε τινὰ βούλοιτο, πρέπον αὐτῷ ἐδόκει εἶναι ὀνομαστὶ προσαγορεύειν. Ἐδόκουν δὲ αὐτῷ οἱ γιγνώσκεσθαι δοκοῦντες ὑπὸ τοῦ ἄρχοντος καὶ τοῦ καλόν τι ποιοῦντες ὁρᾶσθαι μᾶλλον [4]ὀρέγεσθαι, καὶ [5]τοῦ αἰσχρόν τι ποιεῖν μᾶλλον προθυμεῖσθαι ἀπέχεσθαι. Ἠλίθιον δὲ καὶ τοῦτο αὐτῷ ἐδόκει εἶναι, [6]τὸ, ὁπότε βούλοιτό τι πραχθῆναι, οὕτω προστάττειν, ὥσπερ ἐν οἴκῳ ἔνιοι προστάττουσι δεσπόται, Ἴτω τις ἐφ' ὕδωρ, ξύλα τις σχισάτω· οὕτω γὰρ προσταττομένων, εἰς ἀλλήλους τε ὁρᾷν ἅπαντες ἐδόκουν αὐτῷ, καὶ οὐδεὶς περαίνειν τὸ προσταχθέν· καὶ πάντες ἐν αἰτίᾳ εἶναι, καὶ οὐδεὶς τῇ αἰτίᾳ οὔτε αἰσχύνεσθαι, οὔτε φοβεῖσθαι, ὅμοιως διὰ τὸ σὺν πολλοῖς αἰτίαν ἔχειν.

διὰ

διὰ ταῦτα δὴ αὐτὸς πάντας ὠνόμαζεν, ὁπότε [1]προσάττοι. Καὶ ὁ Κῦρος μὲν δὴ ἕτω καὶ τούτων ἐγίγνωσκεν.

Οἱ δὲ στρατιῶται τότε μὲν δειπνήσαντες, καὶ φύλακας [2]καταστησάμενοι, καὶ συσκευασάμενοι πάντα ἃ ἔδει, [3]ἐκοιμήθησαν. Νύκτα δ' ἦν [4]ἐν μέσῳ νυκτῶν, ἐσήμαινε τῷ στρατῷ. Κῦρος δ' εἰπὼν τῷ Χρυσάντᾳ ὅτι ὅπῃ τῇ ὁδῷ ὁπωμένοι δὴ [5]ἐν τῷ πρόσθεν τε στρατεύματος, [6]ἐξήει λαβὼν τοὺς ἀμφ' αὐτὸν ὑπηρέτας· βραχεῖ δὲ χρόνῳ ὕστερον παρῆν Χρυσάντας ἄγων τοὺς θωρακοφόρους. Τούτῳ μὲν δὴ ὁ Κῦρος δοὺς ἡγεμόνας τῆς ὁδοῦ, πορεύεσθαι ἐκέλευεν ἡσύχως, ἕως ἄγγελος ἔλθοι, [7]ὅτι ἐν ὁδῷ πάντες εἶησαν· αὐτὸς δὲ [8]ἐστηκὼς ἐν τῷ αὐτῷ τὸ μὲν προσιόντα [9]προὐπεμπέτο ἐν τάξει, [10]ὅπῃ δέ τι ὑστερίζοντα ἔπεμπε καλῶν. Ἐπεὶ δὲ πάντες ἐν ὁδῷ ἦσαν, πρὸς μὲν Χρυσάνταν ἱππέας ἔπεμψεν, [11]ἐροῦντας ὅτι, Ἐν ὁδῷ ἤδη πάντες· ἄγε δὴ ἕπου. Αὐτὸς δὲ παρελαύνων τὸ ἵππον [12]εἰς τὸ πρόσθεν, ἡσυχος καθεδεῖτο τὰς τάξεις· καὶ ὅς μὲν ἴδοι εὐτάκτως καὶ σιωπῇ ἰόντας, [13]προσελαύνων αὐτοῖς, οἵτινες [14]εἶεν ἠρώτα, καὶ ἐπεὶ [15]πύθοιτο, ἐπῄνει· εἰ δὲ τινας θορυβουμένους [16]αὔθοιτο, τὸ αἴτιον τούτου σκοπῶν, [17]κατασβεννύναι τὴν ταραχὴν ἐπειρᾶτο.

FINIS

EXCERPTORUM EX PROSÆ SCRIPTORIBUS.

Miſcellanea Græca Minora.

PARS ALTERA:

COMPLECTENS EXCERPTA EX NONNULLIS POËTIS.

I.

Ex *ANACREONTIS* CARMINIBUS.

Nec, si quid olim lusit ANACREON
Delevit ætas.—— HOR.

*ΑΝΑΚΡΕΟΝΤΟΣ ΩΔΑΙ.

I.

ΕΙΣ ΛΥΡΑΝ.

ΘΕΛΩ λέγειν Ἀτρεΐδας,
Θέλω δ' Κάδμον ᾄδειν·
Ἀ βάρβιτος δ' χορδαῖς
Ἔρωτα μοῦνον ἠχεῖ.
Ἥμεψα νεῦρα πρώϊω,
Καὶ τὴν λύρην ἅπασαν·
Κἀγὼ μὲν ἦδον ἄθλους
Ἡρακλέους· λύρη δ'
Ἔρωτας ἀντεφώνει.

Χαίροιτε,

Χαίροιτε, λοιπὸν, ἡμῖν,
Ἥρωες· ἡ λύρη γὰρ
Μόνης ἔρωτας ᾄδει.

II.

ΕΙΣ ΓΥΝΑΙΚΑΣ.

Φύσις κέρατα ταύροις,
Ὁπλὰς δ' ἔδωκεν ἵπποις,
Ποδωκίλῳ λαγωοῖς,
Λέουσι χάσμ' ὀδόντων,
Τοῖς ἰχθύσιν τὸ νηκτὸν,
Τοῖς ὀρνέοις πέταλον,
Τοῖς ἀνδράσι φρόνημα.
Γυναιξὶν—οὐκ ἔτ' εἶχεν.
Τί ἦν δίδωσι;—κάλλος.
Ἀντ' ἀσπίδων ἁπασῶν,
Ἀντ' ἐγχέων ἁπάντων.
Νικᾷ ὃ κῆ σιδήρου,
Καὶ πῦρ, καλή τις ἔσα.

III.

ΕΙΣ ΕΡΩΤΑ.

Μεσονυκτίοις ποθ' ὥραις,
Στρέφεται ὅτ' Ἄρκτος ἤδη
Κατὰ χεῖρα τὴν Βοώτου,
Μερόπων ὃ φῦλα πάντα

Κέαται

Κέαται κόπῳ δαμέντα·
Τότ' Ἔρως ὀπισαθέις μευ
Θυρέων ἔκοπ' ὀχῆας.
Τίς, ἔφην, θύρας ἀράσσει;
Κατὰ μεῦ χίσεις ὀνείρους.
Ὁ δ' Ἔρως, ἄνοιγε, φησὶ,
Βρέφος εἰμὶ, μὴ φόβησαι.
Βρέχομαι ᾗ, κἀσέληνον
Κατὰ νύκτα πεπλάνημαι.
Ἐλέησα ταῦτ' ἀκύσας,
Ἀνὰ δ' εὐθὺ, λύχνον ἅψας,
Ἀνέῳξα, κ᾽ βρέφος μὲν
Ἔσορῶ φέροντα τόξον,
Πτέρυγάς τε κ᾽ φαρέτρην.
Παρὰ δ' ἰσίην καθίξας,
Παλάμαισι χεῖρας αὐτᾶ
Ἀνέθαλπον, ἐκ ᾗ χαίτης
Ἀπέθλιβον ὑγρὸν ὕδωρ.
Ὁ δ', ἐπεὶ κρύῳ μεθῆκε,
Φέρε, φησὶ, πειράσωμεν
Τόδε τόξον, ἐς τι μοι νῦν
Βλάβεται βραχεῖσα νευρή.
Τανύει ᾗ, καί με τύπτει
Μέσον ἦπαρ, ὥσπερ οἶστρος·

Ἀνὰ

Ἀνὰ δ' ἄλλεται καχάζων,
Ξένε, δ' εἶπε, συγχάρηθι·
Κέρας ἀβλαβὲς μὲν ἔσι,—
Σὺ δὲ καρδίην πονήσεις.

IV.

ΕΙΣ ΕΑΥΤΟΝ.

Ἐπὶ μυρσίναις τερέναις,
Ἐπὶ λωτίναις τε ποίαις
Στορέσας, θέλω προπίνειν.
Ὁ δ' Ἔρως χιτῶνα δήσας
Ὑπὲρ αὐχένος παπύρῳ
Μέθυ μοι Δαμονέιτω.
Τροχὸς ἅρματος γὰρ οἷα
Βιότος τρέχει κυλισθείς·
Ὀλίγη δὲ κεισόμεθα
Κόνις, ὀστέων λυθέντων.
Τί σε δεῖ λίθον μυρίζειν;
Τί δὲ γῇ χέειν μάταια;
Ἐμὲ μᾶλλον, ὡς ἔτι ζῶ,
Μύρισον, ῥόδοις δὲ κρᾶτα
Πύκασον, κάλει δ' ἑταίρην.
Πρὶν, ἔρως σε, μ' ἀπελθεῖν
Ὑπὸ νεκτέρων χορείας,
Σκεδάσαι θέλω μερίμνας.

V.

V.

ΕΙΣ ῬΟΔΟΝ.

Τὸ ῥόδον τὸ τῶν ἐρώτων.
Μίξωμεν Διονύσῳ·
Τὸ ῥόδον τὸ καλλίφυλλον
Κροτάφοισιν ἁρμόσαντες,
Πίνωμεν ἁβρὰ γελῶντες.
Ῥόδον ὦ φέριστον ἄνθος,
Ῥόδον ἔαρος μέλημα.
Ῥόδα καὶ θεοῖσι τερπνά.
Ῥόδα παῖς ὁ τῆς Κυθήρης
Στέφει καλοῖς ἰάλοις
Χαρίτεσσι συγχορεύων.
Στέψον ἔν με, καὶ λυρίζων
Παρὰ σοῖς, Διόνυσε, σηκοῖς,
Μετὰ κέρης βαθυκόλπε,
Ῥοδίνοισι στεφανίσκοις
Πεπυκασμένος, χορεύσω.

VI.

ΕΙΣ ΠΕΡΙΣΤΕΡΑΝ.

Ἐρασμίη πέλεια,
Πόθεν, πόθεν πέτασαι;
Πόθεν μύρων τοσούτων,
Ἐπ' ἠέρος θέουσα,

5 Πνέεις

Πνέεις τε καὶ ψεκάζεις;
Τίς εἶς;—τί σοι μέλει δε;
Ἀνακρέων μ' ἔπεμψε
Πρὸς παῖδα, πρὸς Βάθυλλον,
Τὸν ἄρτι τῶν ἁπάντων
Κρατοῦντα καὶ τύραννον.
Πέπρακέ μ' ἡ Κυθήρη
Λαβοῦσα μικρὸν ὕμνον·
Ἐγὼ δ' Ἀνακρέοντι
Διακονῶ τοσαῦτα·
Καὶ νῦν, ὁρᾷς, ἐκεῖνε
Ἐπιστολὰς κομίζω·
Καί φησιν εὐθέως με
Ἐλευθέρην ποιήσειν.
Ἐγὼ δ', κἢν ἀφῇ με,
Δέλη μφῶ παρ' αὐτῷ.
Τί γάρ με δεῖ πέταλα
Ὄρη τε καὶ κατ' ἀγρὰς,
Καὶ δένδρεσιν καθίζειν,
Φαγοῦσαν ἄγριόν τι;
Τανῦν ἔδω μφὶ ἄρτον,
Ἀφαρπάσασα χειρῶν
Ἀνακρέοντος αὐτοῦ.

Πιεῖν

Πιεῖν δέ μοι δίδωσι
Τὸν οἶνον ὃν προπίνει.
Πιοῦσα δ' ἂν χορεύω,
Καὶ δεσπότην ἐμοῖσι
Πτεροῖσι συσκιάζω.
Κοιμωμένη δ' ἐπ' αὐτῷ
Τῷ βαρβίτῳ καθεύδω.
Ἔχεις ἅπαντ'· ἄπελθε.
Λαλιστέραν μ' ἔθηκας,
Ἄνθρωπε, καὶ κορώνης.

VII.

ΕΙΣ ἘΑΥΤΟΝ.

Λέγουσιν αἱ γυναῖκες·
Ἀνακρέων, γέρων εἶ·
Λαβὼν ἔσοπτρον, ἄθρει
Κόμας μὲν οὐκ ἔτ' οὔσας,
Ψιλὸν δέ σευ μέτωπον.
Ἐγὼ δὲ τὰς κόμας μὲν,
Εἴτ' εἰσὶν, εἴτ' ἀπῆλθον,
Οὐκ οἶδα· τοῦτο δ' οἶδα,
Ὡς τῷ γέροντι μᾶλλον
Πρέπει τὰ τερπνὰ παίζειν,
Ὅσῳ πέλας τὰ μοίρης.

VIII.

VIII.

ΕΙΣ ΕΡΩΤΑ.

Θέλω, θέλω φιλῆσαι·
Ἔπειθ' Ἔρως φιλεῖν με·
Ἐγὼ δ' ἔχων νόημα
Ἄβελον, ἐκ ἐπείθην.
Ὁ δ' εὐθὺ τόξον ἄρας
Καὶ χρυσέην φαρέτρην,
Μάχῃ με προὐκαλεῖτο.
Κἀγὼ λαβὼν ἐπ' ὤμων
Θώρηχ', ὅπως Ἀχιλλεὺς,
Καὶ δέρα κὴ βοείην,
Ἐμαρνάμην Ἔρωτι.
Ἔβαλλ', ἐγὼ δ' ἔφευγον,
Ὡς δ' ἐκ ἔτ' εἶχ' ὀϊστὸς,
Ἤχαλλεν· εἶθ' ἑαυτὸν
Ἀφῆκεν εἰς βέλεμνον·
Μέσος ᾗ καρδίης μευ
Ἔδυνε, καί μ' ἔλυσε.
Μάτην δ' ἔχω βοείην·
Τί γὰρ βαλώμεθ' ἔξω,
Μάχης ἔσω μ' ἐχούσης;

IX.

IX.

ΕΙΣ ΤΗΝ ἙΑΥΤΟΥ ἙΤΑΙΡΑΝ.

Ἄγε, ζωγράφων ἄριστε,
Γράφε, ζωγράφων ἄριστε,
Ῥοδίης κοίρανε τέχνης,
Ἀπέσσαν, ὡς ἂν εἴπω,
Γράφε τὴν ἐμὴν ἑταίρην.
Γράφε μοι τρίχας τὸ πρῶτον
Ἁπαλάς τε καὶ μελαίνας·
Ὁ δὴ κηρὸς ἂν δύνηται,
Γράφε καὶ μύρα πνεούσας.
Γράφε δ' ἐξ ἕλης παρειῆς
Ὑπὸ πορφύρασι χαίταις
Ἐλεφάντινον μέτωπον.
Τὸ μεσόφρυον δὴ μή μοι
Διάκοπλε, μήτε μίσγε.
Ἐχέτω δ', ὅπως ἐκείνη,
Τὸ λεληθότως σύνοφρυν
Βλεφάρων ἵτυν κελαίνην.
Τὸ δὴ βλέμμα νῦν ἀληθῶς
Ἀπὸ σῦ πυρὸς ποίησον·
Ἅμα γλαυκὸν, ὡς Ἀθήνης·
Ἅμα δ' ὑγρὸν, ὡς Κυθήρης.
Γράφε ῥίνα καὶ παρειὰς,

Ῥόδα

Ῥόδα τῷ γάλακτι μίξας.
Γράφε χεῖλος, οἵα Πειθοῦς,
Προκαλούμενον φίλημα.
Τρυφεροῦ δ' ἔσω γενείου
Περὶ Λυγδίνῳ τραχήλῳ
Χάριτες πέτοιντο πᾶσαι.
Στόλισον τολοιπὸν αὐτὴν
Ὑποπορφύροισι πέπλοις.
Διαφαινέτω δὲ σαρκῶν
Ὀλίγον, τὸ σῶμ' ἔλεγχον.
Ἀπέχει· βλέπω γὰρ αὐτήν.
Τάχα, κηρὲ, καὶ λαλήσεις.

X.

ΕΙΣ ΧΕΛΙΔΟΝΑ.

Σὺ μὲν, φίλη χελιδὼν
Ἐτησίη μολοῦσα,
Θέρει πλέκεις καλιὴν·
Χειμῶνι δ' εἷς ἄφαντος
Ἢ Νεῖλον ἢ 'πί Μέμφιν.
Ἔρως δ' ἀεὶ πλέκει μευ
Ἐν καρδίῃ καλιήν.
Πόθος δ' ὁ μὲν πτεροῦται,
Ὁ δ' ὦόν ἐστιν ἀκμὴν,
Ὁ δ' ἡμίλεπτος ἤδη.

Βοή

Βοή ϑ' γίνετ' αἰεὶ
Κεχηνότων νεοττῶν.
Ἐρωτιδεῖς ϑ' μικρὰς
Οἱ μείζονες τρέφουσιν.
Οἱ ϑ' τραφέντες εὐθὺς
Πάλιν κύουσιν ἄλλους.
Τί μῆχος ἦν γένηται;
Οὐ γὰρ θένω τοσούτους
Ἔρωτας ἐκσοβῆσαι.

XI.

ΕΙΣ ΤΟ ΕΑΡ.

Ἴδε, πῶς ἔαρος φανέντος
Χάριτες ῥόδα βρύουσιν.
Ἴδε, πῶς κῦμα θαλάσσης.
Ἀπαλύνεται γαλήνῃ.
Ἴδε, πῶς νῆσσα κολυμβᾷ.
Ἴδε, πῶς γέρανος ὁδεύει.
Ἀφελῶς δ' ἔλαμψε Τιτάν,
Νεφελῶν σκιαὶ δονοῦνται.
Τὰ βροτῶν δ' ἔλαμψεν ἔργα.
Καρποῖσι γαῖα προκύπτει.
Καρπὸς ἐλαίας προκύπτει.
Βρομίῳ σέφεται νᾶμα.
Κατὰ φύλλον, κατὰ κλῶνα,
Καθελὼν ἤνθησε καρπός.

XII.

XII.

ΕΙΣ ΕΡΩΤΑ.

Ἔρως ποτ' ἐν ῥόδοισι
Κοιμωμένην μέλιτταν
Οὐκ εἶδεν, ἀλλ' ἐτρώθη.
Τὸν δάκτυλον ᾧ δαχθεὶς
Τᾶς χειρὸς ὠλόλυξε.
Δραμὼν ᾧ κὴ πεταθεὶς
Πρὸς τὴν καλὴν Κυθήρην,
Ὄλωλα, μᾶτερ, εἶπεν,
Ὄλωλα, κἀποθνήσκω.
Ὄφις μ' ἔτυψε μικρὸς
Πτερωτὸς, ὃν καλεῦσι
Μέλιτταν οἱ γεωργοί.
Ἃ δ' εἶπεν· εἰ τὸ κέντρον
Πονεῖ τὸ τᾶς μελίττας,
Πόσον, δοκεῖς, πονεῦσιν,
Ἔρως, ὅσες σὺ βάλλεις;

XIII.

ΕΙΣ ΤΕΤΤΙΓΑ.

Μακαρίζομεν σε, τέττιξ,
Ὅτι δένδρεων ἐπ' ἄκρων,
Ὀλίγην δρόσον πεπωκὼς,
Βασιλεὺς ὅπως, ἀείδεις.

Σά

Σὰ γάρ ἐσι κεῖνα πάντα,
Ὁπόσα βλέπεις ἐν ἀγροῖς,
Χ' ὁπόσα φέρουσιν ὕλαι.
Σὺ ἦ φιλίος γεωργῶν,
Ἀπὸ μηδενός τί βλάπτων.
Σὺ ἦ τίμιος βροτοῖσι,
Θέρεος γλυκὺς προφήτης.
Φιλέουσι μέν σε Μοῦσαι·
Φιλέει ἦ Φοῖβος αὐτὸς,
Λιγυρὴν δ' ἔδωκεν οἴμην.
Τὸ ἦ γῆρας ἄ σε τείρει,
Σοφὲ, γηηχυὴς, φίλυμνε,
Ἀπαθὴς, ἀναμόσαρκε·
Σχεδὸν εἶ θεοῖς ὅμοιος.

XIV.

ΕΙΣ ΕΡΩΤΑ.

Χαλεπὸν τὸ μὴ φιλῆσαι·
Χαλεπὸν ἦ κἦ φιλῆσαι·
Χαλεπώτερον ἦ πάντων
Ἀποτυγχάνειν φιλοῦντα.
Γένος, ὠδὲν εἰς ἔρωτα·
Σοφίη, τρόπος πατεῖται.
Μόνον ἄργυρον βλέπουσιν.
Ἀπόλοιτο πρῶτος αὐτὸς

Ὁ τὸν ἄργυρον φιλήσας.
Διὰ τοῦτον ἐκ ἀδελφὸς,
Διὰ τοῦτον ἐ τοκῆες·
Πόλεμοι, φόνοι δι' αὐτόν.
Τὸ δὲ χεῖρον, ὀλλύμεθα
Διὰ τοῦτον οἱ φιλοῦντες.

XV.

ΕΙΣ ΓΕΡΟΝΤΑ.

Φιλῶ γέροντα τερπνὸν,
Φιλῶ νέον χορευτάν.
Γέρων δ' ὅταν χορεύῃ,
Τρίχας γέρων μὴ ἔχει,
Τὰς δὲ φρένας νεάζει.

FH
MVSEVM
BRITANNICVM

II.

Ex *BIONIS* IDYLLIIS.

*ΒΙΩΝΟΣ ΕΙΔΥΛΛΙΑ.

I.

ΕΚ ΤΟΥ ΕΠΙΤΑΦΙΟΥ ΑΔΩΝΙΔΟΣ.

ΑΙΑΖΩ τὸν Ἄδωνιν· ἐπαιάζȣσιν Ἔρωτες.
Κεῖται καλὸς Ἄδωνις ἐπ' ὤρεσι, μηρὸν ὀδόντι
Λευκῷ λευκὸν ὀδόντι τυπεὶς, ϗ Κύπριν ἀνιᾷ
Λεπτὸν ἀποψύχων· τὸ δέ οἱ μέλαν εἴβεϑ αἷμα
Χιονέας κάτα σαρκός· ὑπ' ὀφρύσι δ' ὄμματα ναρκεῖ,
Καὶ τὸ ῥόδον φεύγει τῶ χείλεος· ἀμφὶ ϑ τήνῳ
Θνάσκει ϗ τὸ φίλαμα τὸ μήποτε Κύπρις ἀφήσει·
Κύπριδι μὲν τὸ φίλαμα ϗ ȣ ζώοντος ἀρέσκει·
Αλλ' ȣκ εἶδεν Ἄδωνις ὅ μιν θνάσκοντ' ἐφίλασεν.
Αἶ αἶ τὰν Κυθέρειαν, ἀπώλετο καλὸς Ἄδωνις.
Ὥς ἴδεν, ὡς ἐνόησεν Ἀδώνιδος ἄσχετον ἕλκος,
Ὡς ἴδε φοίνιον αἷμα μαραινομένῳ περὶ μηρῷ,
Πάχεας ἀμπετάσασα κινύρετο, Μεῖνον, Ἄδωνι,

Δύσποτμε μεῖνον Ἄδωνι, πανύςατον ὥς σε κιχείω,
Ὥς σε περιπτύξω, καὶ χείλεα χείλεσι μίξω.
Φεύγεις μακρὸν, Ἄδωνι, καὶ ἔρχεαι εἰς Ἀχέροντα,
Καὶ ςυγνὸν βασιλῆα καὶ ἄγριον· ἃ δὲ τάλαινα
Ζώω, καὶ θεὸς ἐμμὶ, καὶ οὐ δύναμαί σε διώκειν.
Λάμβανε, Περσεφόνα, τὴν ἐμὸν πόσιν· ἐσσὶ γὰρ αὐτὰ
Πολλὸν ἐμεῦ κρείσσων· τὸ δὲ πᾶν καλὸν ἐς σὲ καταῤῥεῖ.
Θνάσκεις, ὦ τριπόθατε· πόθος δέ μοι, ὡς ὄναρ, ἔπτη.
Σοὶ δ' ἅμα κεςὸς ὄλωλέ· τί γὰρ, τολμηρὲ, κυνάγεις;
Καλὸς ἐὼν τοσσοῦτον ἐμήνας θηρσὶ παλαίειν;
Ὧδ' ὀλοφύρατο Κύπρις· ἐπαιάζουσιν Ἔρωτες.
Αἶ αἶ τὰν Κυθέρειαν· Ἀπώλετο καλὸς Ἄδωνις.
Δάκρυον ἁ Παφίη τόσον ἐκχέει, ὅσσον Ἄδωνις
Αἷμα χέει· τὰ δὲ πάντα ποτὶ χθονὶ γίγνεται ἄνθη·
Αἷμα ῥόδον τίκτει· τὰ δὲ δάκρυα τὰν ἀνεμώναν.
Αἰάζω τὴν Ἄδωνιν· Ἀπώλετο καλὸς Ἄδωνις.
Μηκέτ' ἐνί δρυμοῖσι τὸν ἀνέρα μύρεο, Κύπρι·
Ἔςι' ἀγαθὰ ςιβὰς, ἔςιν Ἀδώνιδι φυλλὰς ἑτοίμα.
Λέκτρον ἔχει, Κυθέρεια, τὸ σὸν τόδε νεκρὸς Ἄδωνις·
Καὶ νέκυς ὢν καλός ἐςι, καλὸς νέκυς οἷα καθεύδων.
Κέκλιται ἁβρὸς Ἄδωνις ἐν εἵμασι πορφυρέοισιν.
Αμφὶ δέ μιν κλαίοντες ἀναςενάχουσιν Ἔρωτες,
Κειράμενοι χαίτας ἐπ' Ἀδώνιδι. χὠ μὲν ὀϊςὼς,
Ὃς δ' ἐπὶ τόξον ἔβαιν', ὃς δ' εὔπτερον ἄγε φαρέτρην·

Χὠ

Χὠ μὲν ἔλυσε πέδιλον Ἀδώνιδος, ὃς δὴ λέβησι
Χρυσείοις φορέησιν ὕδωρ, ὁ δὲ μηρία λύει·
Ὃς δ' ὄπιθεν πλεύρῃσσιν ἀναψύχει τὸν Ἄδωνιν.
Αὐτὰν τὰν Κυθέρειαν ἐπαιάζεσιν Ἔρωτες·
Ἔσβεσε λαμπάδα πᾶσαν ὀπὶ φλιᾶς Ὑμήναιος,
Καὶ στέφος ἐξεπέτασσε γαμήλιον· ἐκέτι δ' Ὑμὰν,
Ὑμὰν ἐκέτ' ἀειδόμενον μέλος, ἆδε δ' αἰαῖ.
Αἱ Χάριτες κλαίοντι τὸν υἱέα τῷ Κινύραο,
Καί μιν ἐπαείδεσιν· ὁ δὲ σφισὶν οὐκ ἐπακούει,
Οὐ μὰν οὐκ ἐθέλει, κῶρα δέ μιν οὐκ ἀπολύει.

II.

ΙΞΕΥΤΑΣ.

Ἰξευτὰς ἔτι κῶρος, ἐν ἄλσεϊ δενδρήεντι
Ὄρνεα θηρεύων, τὸν ἀπότροπον εἶδεν Ἔρωτα
Ἑσδόμενον πύξοιο ποτὶ κλάδον· ὡς δ' ἐνόασε,
Χαίρων ὥνεκα δὴ μέγα φαίνετο ὄρνεον αὐτῷ,
Τὼς καλάμως ἅμα πάντας ἐπ' ἀλλάλοισι συνάπλων,
Τᾷ δὲ τᾷ τὸν Ἔρωτα μετάλμενον ἀμφεδόκευεν.
Χὠ πᾶις ἀχαλάων ἕνεχ' οἱ τέλος ἐδὲν ἀπάνθη,
Τὼς καλάμως ῥίψας, ποτ' ἀροτρέα πρέσβυν ἵκανεν,
Ὃς νιν τάνδε τέχναν ἐδιδάξατο· κὤ λέγῳ αὐτῷ,
Καὶ οἱ δεῖξεν Ἔρωτα καθήμενον. αὐτὰρ ὁ πρέσβυς
Μειδιάων κίνησε κάρηϊ, κὤ ἀμείβετο παῖδα·
Φεύδεο τᾶς θήρας, μηδ' ἐς τόδε τὤρνεον ἔρχευ.

Φεῦγε

Φεῦγε μακράν· κακὸν ἐντὶ τὸ θηρίον· ὄλβιος ἔσσῃ
Εἴσοκα μή μιν ἔλῃς· ἢν δ' ἀνέρος ἐς μέτρον ἔλθῃς,
Οὗτος ὁ νῦν φεύγων κὴ ἐπάλμενος, αὐτὸς ἀφ' αὑτῷ
Ἐλθὼν ἐξαπίνας, κεφαλὰν ὅκα σεῖο καθιξεῖ.

III.

ΚΛΕΟΔΑΜΟΣ ΚΑΙ ΜΥΡΣΩΝ.

Εἴαρος, ὦ Μύρσων, ἢ χείματος, ἢ φθινοπώρᾳ,
Ἢ θέρεος, τί τοι ἀδύ; τί ϝὴ πλέον εὔχεαι ἐλθεῖν;
Ἢ θέρος, ἀνίκα πάντα τελείᾳ ὅσσα μογεῦμες;
Ἢ γλυκερὸν φθινόπωρον, ὅτ' ἀνδράσι λιμὸς ἐλαφρά;
Ἢ κὴ χεῖμα δύσεργον; ἐπεὶ ϛ χείμαλι πολλοὶ
Θαλπόμβοι θέλγονται ἀεργίᾳ τε κὴ ὀκνῳ;
Ἤτοι καλὸν ἔαρ πλέον εὔαδεν; ἐπτέ τί τοι φρὴν
Αἱρεῖται; λαλέειν γὸ ἐπέτραπεν ἁ σχολὰ ἡμῖν.
M. Κρίνειν ἐκ ἐπέοικε θεήια ἔργα βροτοῖσι.
Πάντα γὸ ἱερὰ ταῦτα κὴ ἀδέα· σεῦ ϝὴ ἕκατι
Ἐξερέω, Κλεόδαμε, τό μοι πέλεν ἄδιον ἄλλων.
Οὐκ ἐθέλω θέρος ἦμεν, ἐπεὶ τοκα μ' ἅλιος ὀπᾷ·
Οὐκ ἐθέλω φθινόπωρον, ἐπεὶ νόσον ὥρια τίκλει·
Οὖλον χεῖμα φέρειν, νιφετὸν κρυμές τε φοβεῦμαι.
Εἶαρ ἐμοὶ τριπόδαλον ὅλῳ λυκάβαντι παρείη,
Ἀνίκα μήτε κρύος, μήθ' ἅλιος ἄμμε βαρύνει.
Εἴαρι πάντα κύει, παντ' ἔαρος ἀδέα βλαστεῖ.
Χἁ νὺξ ἀνθρώποισιν ἴσα, ϛ ὁμοίιος ἀώς.

III.

III.

Ex *MOSCHI* IDYLLIIS.

---

*ΜΟΣΧΟΥ ΕΙΔΥΛΛΙΑ.

I.

ΕΡΩΣ ΔΡΑΠΕΤΗΣ.

Ἁ Κύπρις τὸν Ἔρωτα τ' υἱέα μακρὸν ἐβώσατο,
Εἴ τις ὅπᾳ τριόδοισι πλανώμενον εἶδεν Ἔρωτα;
Δραπετίδας ἐμός ἐστιν· ὁ μανυτὰς γέρας ἔξει.
Μισθός τοι τὸ φίλαμα τὸ Κύπριδος. ἢν δ' ἀγάγῃς νιν,
Οὐ γυμνὸν τὸ φίλαμα, τί δ' ὦ ξένε κ' πλέον ἔξεις.
Ἔστι δ' ὁ παῖς θρασύς· ἐν εἴκοσι πᾶσι μάθοις νιν.
Χρῶτα μὲν ἁ λευκὸς, πυρὶ δ' ἔμπελος· ὄμματα δ' αὐτᾷ
Δριμύλα κ' φλογόεντα· κακαὶ φρένες, ἁδὺ λάλημα·
Οὐ γὰ ἴσον νοέει κ' φθέγγεται. ὡς μέλι φωνά.
Ἢν ἢ χολᾷ, νόος ἐστὶν ἀνάμερος, ἠπεροπευτὰς,
Οὐδὲν ἀλαθεύων, δόλιον βρέφος, ἄγρια παίσδει.
Εὐπλόκαμον τὸ κάρανον, ἔχει δ' ἰταμὸν τὸ πρόσωπον.

Μικκύλα

Μικκύλα μὲν τήνω τὰ χερύδρια, μακρὰ δ' βάλλει.
Βάλλει κ' εἰς Ἀχέροντα κ) εἰς Ἀΐδεω βασιλῆα.
Γυμνὸς μὲν τόγε σῶμα, νόος δέ οἱ ἐμπεπύκασαι.
Καὶ πτερόεις, ὅσον ὄρνις, ἐφίπτα) ἄλλοτ' ἐπ' ἄλλες
Ἀνέρας ἠδὲ γυναῖκας, ὅτι σπλάγχνοις δ' κάθηλαι.
Τόξον ἔχει μάλα βαιὸν, ὑπὲρ τόξῳ δ' βέλεμνον·
Τυθὸν ἑοῖ τὸ βέλεμνον, ἐς αἰθέρα δ' ἄχρι φορεῖται.
Καὶ χρύσεον ὦδὲ νῶτα φαρέτριον, ἔνδοθι δ' ἐντὶ
Τοὶ πικροὶ κάλαμοι, τοῖς πολλάκι κ' ἐμὲ τιρῶσκει.
Πάντα μὲν ἄγρια, πάντα· πολὺ πλεῖον δέ οἱ αὐτῷ
Βαιὰ λαμπὰς ἐοῖσα τὸν ἅλιον αὐτὸν ἀναίθει·
Ἢν τύ γ' ἔλῃς τῆνον, δάσας ἄγε, μηδ' ἐλεήσῃς.
Κ' ἢν ποτ' ἴδῃς κλαίοντα, φυλάσσεο μή σε πλανήσῃ.
Κ' ἢν γελάᾳ, τύ νιν ἔλκε. κ) ὢν ἐθέλῃ σε φιλᾶσαι,
Φεῦγε· κακὸν τὸ φίλαμα, τὰ χείλεα φάρμακον ἐντί.
Ἢν δ' λέγῃ, Λάβε ταῦτα, χαρίζομαι ὅσσά μοι ὅπλα,
Μήτι θίγῃς, πλάνα δῶρα· τὰ γὰ πυρὶ πάντα βέβαπ).

II.

ΕΚ ΤΟΥ ΕΠΙΤΑΦΙΟΥ ΒΙΩΝΟΣ.

Ἄρχελε, Σικελικὰ, τὼ πένθεος, ἄρχελε, Μοῖσαι.
Ἀδόνες, αἱ πυκινοῖσιν ὀδυρόμεναι ποτὶ φύλλοις,
Νάμασι τοῖς Σικελοῖς ἀγγείλατε τᾶς Ἀρεθούσας,
Ὅτι Βίων τέθνακεν ὁ Βωκόλος, ὅτι σὺν αὐτῷ
Καὶ τὸ μέλος τέθνακε, κ) ὤλετο Δωρὶς ἀοιδά·

Ἄρχελε,

Ἄρχελε, Σικελικαὶ, τῷ πένθεος, ἄρχελε, Μοῖσαι.
Κεῖνος, ὁ ταῖς ἀγέλαισιν ἐρασμιώτ, ἐκέτι μέλπει,
Οὐκέτ' ἐρημαίαισιν ὑπὸ δρυσὶν ἥμῳ ἄδε·
Ἀλλὰ παρὰ Πλατῆϊ μέλῳ λήϊθαιον ἀείδει.
Ἄρχελε, Σικελικαὶ, τῷ πένθεος, ἄρχελε, Μοῖσαι.
Τίς ποτε σᾷ σύριγξι μελίσδει, ὦ τριπόθατέ;
Τίς δ' ὅπα σοῖς καλάμοις θάσει στόμα; τίς θρασὺς ἔτως;
Εἰσέτι γὰρ πνείει τὰ σὰ χείλεα, καὶ τὸ σὸν ἆθμα.
Ἀχὼ δ' ἐν δονάκεσσι τεὰς ὀπιδόσκετ' ἀοιδάς.
Πανὶ φέρω τὸ μέλισμα· τάχ' ἂν κἀκεῖνος ἐρεῖσαι
Τὸ στόμα δειμαίνοι, μὴ δεύτερα σεῖο φέρηται.
Τλῆθί τοι, ὦ ποταμῶν λιγυρώταλε, δεύτερον ἄλλος.
Τῆτο, Μέλη, νέον ἄλλος· ἀπώλεσε πράν τοι Ὅμηρος,
Τῆνο τὸ Καλλιόπας γλύκερον στόμα· καί σε λέγουσι
Μύρεσθαι καλὸν υἷα πολυκλαύστοισι ῥείθροις,
Πᾶσαν δ' ἔπλησας φωνᾶς ἄλα· νῦν πάλιν ἄλλον
Υἷα δακρύεις, αἰνῶς δ' ὅπα πένθει τάκῃ.
Ἀμφότεροι παγαῖς πεφιλαμφύοι· ὃς μὲν ἔπινε
Πασασίδος κράνας, ὁ δ' ἔχεν πόμα τὰς Ἀρεθέσας.
Χὠ μὲν Τυνδαρέοιο καλὰν ἄεισε θύγατρα,
Καὶ Θέτιδος μέγαν υἷα, καὶ Ἀτρείδαν Μενέλαον·
Κεῖνος δ' ὁ πολέμοις, ὁ δάκρυα, Πᾶνα δ' ἔμελπε,
Καὶ βώτας ἐλίγαινε, καὶ ἀείδων ἐνόμευε,

Καὶ

Καὶ σύριγγας ἔτευχε, © ἁδεα πόρτιν ἄμελγε,
Καὶ παίδων ἐδίδασκε φιλάμαλα, κ᾽ τ᾽ Ἔρωτα
Ἔτρεφεν ἐν κόλποισι, κ᾽ ἤρεσε τὴν Ἀφροδίτᾳ.
Ἄρχελε, Σικελικαὶ, τῶ πένθεος, ἄρχελε, Μοῖσαι.
Πᾶσα, Βίων, θρῆνεῖ σε κλυτὴ πόλις, ἄσεα πάντα.
Ἄσκρη μὲν γοάει σε πολὺ πλέον Ἡσιόδοιο·
Πίνδαρον ἁ ποθέοντι τόσον Βοιωτίδες ὗλαι·
Οὐδὲ τόσον τὸν ἀοιδὸν ἐμύρατο Κήϊον ἄσυ·
Σὲ πλέον Ἀρχιλόχοιο ποθεῖ Πάρος· ἀνλὶ ᾧ Σαπφᾶς
Εἰσέτι σεῦ τὸ μέλισμα κινύρεῖ ἁ Μιτυλάνα.
Ἄρχελε, Σικελικαὶ, τῶ πένθεος, ἄρχελε, Μοῖσαι.
Αἰ, αἰ, ταὶ μαλάχαι μὲν ἐπὰν καλὰ κᾶπον ὄλωνῖ,
Ἢ τὰ χλωρὰ σέλινα, τὸ τ᾽ εὐθαλὲς ἕλον ἄνηθον,
Ὕστερον αὖ ζώνλι, κ᾽ εἰς ἔτος ἄλλο φύοντι·
Ἄμμες δ᾽ οἱ μεγάλοι, κ᾽ καρτεροὶ, ἢ σοφοὶ ἄνδρες,
Ὁππότε πρῶτα θάνωμες, ἀνάκοοι ἐν χθονὶ κοίλᾳ
Εὕδομες εὖ μάλα μακρὸν ἀτέρμονα νήγρετον ὕπνον.
Καὶ σὺ μὲν ἐν σιγᾷ πεπυκασμένος ἔσσεαι ἐν γᾷ.

IV.

IV.

Ex *TYRTÆI* ELEGIIS.

*ΤΥΡΤΑΙΟΥ ΕΛΕΓΕΙΑΙ.

I.

Περὶ τῆς πολιμικῆς ἀρετῆς.

Οὔτ' ἂν μνησαίμην, ἔτ' ἐν λόγῳ ἄνδρα τιθείμην,
Οὔτε ποδῶν ἀρετῆς, ἔτε παλαισμοσύνης·
Οὐδ' εἰ Κυκλώπων μὲν ἔχοι μεγεθός τε βίην τε,
Νικῴη δ' Θρηΐκιον Βορέλω·
Οὐδ' εἰ Τιθωνοῖο φυὴν χαρίεσσ' εἴη,
Πλουτοίη δ' Μίδεω καὶ Κινύραο πλέον·
Οὐδ' εἰ Ταντα λίδεω Πέλοπος βασιλεύτερος εἴη,
Γλῶσσαν δ' Αδρήστε μειλιχόγηρυν ἔχοι·
Οὐδ' εἰ πᾶσαν ἔχοι δόξαν, πλὴν θέριδος ἀλκῆς.
Οὐ γὰρ ἀνὴρ ἀγαθὸς γίγνεται ἐν πολέμῳ,
Εἰ μὴ τλαίη μὲν ὁρῶν φόνον αἱματόεντα,
Καὶ δηΐων ὀρέγοιτ' ἐγγύθεν ἱστάμενος.

Ἡ δ' ἀρετὴ, τόδ' ἄεθλον ἐν ἀνθρώποισιν ἄριστον,
Κάλλιστόν τε φέρειν γίγνεται ἀνδρὶ νέῳ.
Ξυνὸν δ' ἐσθλὸν τοῦτο πόληΐ τε, παντί τε δήμῳ,
Ὅστις ἀνὴρ διαβὰς ἐν προμάχοισι μένῃ
Νωλεμέως, αἰσχρᾶς δὲ φυγῆς ἐπιπάγχυ λάθηται,
Ψυχὴν καὶ θυμὸν τλήμονα παρθέμενος·
Θαρσύνῃ δὲ πεσεῖν τὸν πλησίον ἄνδρα παρεστώς·
Οὗτος ἀνὴρ ἀγαθὸς γίγνεται ἐν πολέμῳ.
Αἶψα δὲ δυσμένεων ἀνδρῶν ἔτρεψε φάλαγγας
Τρηχείας, σπουδῇ τ' ἔσχεθε κῦμα μάχης·
Αὐτὸς δ' ἐν προμάχοισι πεσὼν φίλον ὤλεσε θυμὸν,
Ἄστύ τε καὶ λαοὺς, καὶ πατέρ' εὐκλεΐσας·
Πολλὰ διὰ στέρνοιο, καὶ ἀσπίδος ὀμφαλοέσσης,
Καὶ διὰ θώρηκος πρόσθεν ἐληλαμένος.
Τὸν δ' ὀλοφύρονται μὲν ὁμῶς νέοι ἠδὲ γέροντες,
Ἀργαλέῳ δὲ πόθῳ πᾶσα κέκηδε πόλις.
Καὶ τύμβος, καὶ παῖδες ἐν ἀνθρώποις ἀρίσημοι,
Καὶ παίδων παῖδες, καὶ γένος ἐξοπίσω·
Οὐδέ ποτε κλέος ἐσθλὸν ἀπόλλυται, οὐδ' ὄνομ' αὐτοῦ,
Ἀλλ', ὑπὸ γῆς περ ἐὼν, γίγνεται ἀθάνατος,
Ὅντιν', ἀριστεύοντα, μένοντά τε, μαρνάμενον τε,
Γῆς περὶ καὶ παίδων θοῦρος Ἄρης ὀλέσῃ.
Εἰ δὲ φύγοι μὲν κῆρα τανηλεγέος θανάτοιο,
Νικήσας δ' αἰχμῆς ἀγλαὸν εὖχος ἕλοι·

Πάντες

Πάντες μίν τιμῶσιν ὁμῶς νέοι ἠδὲ παλαιοὶ.
Πολλὰ δὲ τερπνὰ παθων ἔρχεται εἰς ἀΐδην.
Γηράσκων δ' ἀςοῖσι μεταπρέπει, οὐδέ τις αὐτὸν
Βλάπτειν, οὔτ' αἰδοῦς οὔτε δίκης, ἐθέλει.
Πάντες δ' ἐν θόκοισιν ὁμῶς νέοι, οἵ τε κατ' αὐτὸν
Εἴκουσ' ἐκ χώρης, οἵ τε παλαιότεροι.
Ταύτης νῦν τις ἀνὴρ ἀρετῆς εἰς ἄκρον ἱκέσθαι
Πειράσθω, θυμὸν μὴ μεθιεὶς πολέμου.

II.

Τοῦ αὐτοῦ.

Τεθνάμεναι γὰρ καλὸν ἐνὶ προμάχοισι πεσόντα
Ἄνδρ' ἀγαθὸν, περὶ ᾗ πατρίδι μαρνάμενον.
Τὴν δ' αὐτοῦ προλιπόντα πόλιν καὶ πίονας ἀγροὺς
Πτωχεύειν, πάντων ἔςτ' ἀνιηρότατον,
Πλαζόμενον σὺν μητρὶ φίλῃ, καὶ πατρὶ γέροντι,
Παισί τε σὺν μικροῖς, κουριδίῃ τ' ἀλόχῳ.
Ἐχθρὸς μὲν γὰρ τοῖσι μετέσσεται οὕς κεν ἵκηται,
Χρησμοσύνῃ τ' εἴκων καὶ ςυγερῇ πενίῃ·
Αἰσχύνει τε γένος, κατὰ δ' ἀγλαὸν εἶδος ἐλέγχει,
Πᾶσα δ' ἀθυμία καὶ κακότης ἕπεται.
Εἶθ' οὕτως ἀνδρὸς τοι ἀλωμένου οὐδεμί' ὥρη
Γίγνεται, οὔτ' αἰδὼς εἰσοπίσω τελέθει.
Θυμῷ γῆς πέρι τῆςδε μαχώμεθα, καὶ περὶ παίδων
Θνήσκωμεν, ψυχέων μηκέτι φειδόμενοι.

15 Ὦ

Ὦ νέοι ἀλλὰ μάχεσθε παρ' ἀλλήλοισι μένοντες,
Μηδὲ φυγῆς αἰσχρᾶς ἄρχετε, μηδὲ φόβου.
Ἀλλὰ μέγαν ποιεῖτε καὶ ἄλκιμον ἐν φρεσὶ θυμὸν,
Μηδὲ φιλοψυχεῖτ' ἀνδράσι μαρνάμενοι.
Τοὺς δὲ παλαιοτέρους, ὧν οὐκέτι γοῦνατ' ἐλαφρὰ,
Μὴ καταλείποντες φεύγετε τοὺς γεραιούς·
Αἰσχρὸν γὰρ δὴ τοῦτο, μετὰ προμάχοισι πεσόντα
Κεῖσθαι πρόσθε νέων ἄνδρα παλαιότερον.
Ἤδη λευκὸν ἔχοντα κάρη, πολιόν τε γένειον,
Θυμὸν ἀποπνείοντ' ἄλκιμον ἐν κονίῃ,
Καὶ χρόα γυμνωθέντα· νέοισι δὲ πάντ' ἐπέοικεν,
Ὄφρ' ἄρα τ' ἤβης ἀγλαὸν ἄνθος ἔχῃ,
Ἀνδράσι μὲν θηητοῖσιν ἰδεῖν, ἐρατὸς δὲ γυναιξὶ
Ζωὸς ἐὼν, καλὸς δ', ἐν προμάχοισι πεσών.

FINIS

EXCERPTORUM EX POËTIS.

NOTÆ

AD

Miſcellanea Græca Minora:

IN GRATIAM TIRONUM.

EDITIO SECUNDA EMENDATIOR.

NOTÆ

AD

EXCERPTA EX PROSÆ SCRIPTORIBUS.

I. NOTÆ IN ÆSOPUM.

